Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής


Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3648

ΓΡΑΜΜΑΤΙΚΗ

1889.
147

ΟΜΗΡΙΚΗ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΝ ΤΟΙΣ ΓΥΜΝΑΣΙΟΙΣ
ΜΑΘΗΤΩΝ ΚΑΙ ΤΩΝ ΦΙΛΟΛΟΓΩΝ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ Δ. ΖΗΚΙΔΟΥ

«Ἀναγκαῖον ἔν τε ἄλλοις ποιηταῖς διατρίβειν πολλοῖς καὶ ἀγαθοῖς καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ, τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶν, καὶ τὴν τούτου διάνοιαν ἐκμανθάνειν, μὴ μόνον τὰ ἔπη, ζηλωτόν ἐστιν.»

(Πλάτ. Ἴωνι σελ. 530, δ΄.)

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ «ΠΑΛΙΓΓΕΝΕΣΙΑ» Ι. ΑΓΓΕΛΟΠΟΥΛΟΥ
14 — Ὁδὸς Βορρᾶ — 14.

1889

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πᾶν γνήσιον ἀντίτυπον φέρει τὴν ὑπογραφήν μου



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



ΚΩΝΣΤΑΝΤΙΝΩι ΖΑΠΠΑι,

ΑΝΔΡΙ ΦΙΛΟΓΕΝΕΣΤΑΤΩι,

ΕΝΘΕΡΜΩι ΤΩΝ ΜΟΥΣΩΝ ΠΡΟΣΤΑΤΗι

ΚΑΙ ΜΕΓΑΛΩι ΕΘΝΙΚΩι ΕΥΕΡΓΕΤΗι,

ΔΕΙΓΜΑ ΕΛΑΧΙΣΤΟΝ ΕΥΧΑΡΙΣΤΙΑΣ

ΑΝΘ ΩΝ ΥΠΕΡ ΤΩΝ ΕΛΛΗΝΩΝ

ΕΠΡΑΞΕΝ ΑΓΑΘΩΝ

ΤΟΔ ΑΝΑΤΙΘΗΜΙ

Ο ΣΥΓΓΡΑΦΕΥΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΠΡΟΛΟΓΟΣ

Ὑπὸ πάντων ὁμολογεῖται ὅτι ὁ ἄριστος καὶ θειότατος τῶν ποιητῶν Ὅμηρός [1] ἐστιν οὐ μόνον ἐθνικὸς ἀλλὰ καὶ παγκόσμιος ποιητής, παντὶ αὐτὸν ἀναγινώσκοντι χρήσιμος γινόμενος. Αὐτὸς τοὺς Ἕλληνας τραγικοὺς παρήγαγεν [2]· ἐφ' ᾧ δικαίως καὶ ὁ Αἰσχύλος τὰς αὐτοῦ τραγῳδίας καλεῖ τεμάχη τῶν μεγάλων τοῦ Ὁμήρου δείπνων [3]· αὐτὸς ἐγένετο διδάσκαλος τῆς ἐθνικῆς παιδεύσεως [4]· αὐτὸς περὶ τῶν καλλίστων τῷ ἀνθρώπῳ καὶ ὠφελίμων ἐδίδαξε, περὶ πολέμων καὶ στρατηγιῶν καὶ διοικήσεων πόλεων καὶ περὶ παιδείας ἀνθρώπου [5]· αὐτὸς πανταχοῦ σχεδὸν τῶν ποιημάτων αὐτοῦ ἐπήνεσε τὴν ἀρετήν· διότι, ἵνα κατὰ τὸν μέγαν Βασίλειον εἴπω, «πᾶσα ἡ ποίησις αὐτοῦ ἀρετῆς ἔστιν ἔπαινος καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει ὅ,τι μὴ πάρεργον» [6]. Διὰ τοῦτο καὶ ὁ ῥήτωρ Ἰσοκράτης τάδε περὶ Ὁμήρου λέγει· «Οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίησιν μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολεμήσαντας τοῖς βαρβάροις ἐγκωμίασε καὶ διὰ τοῦτο βουληθῆναι τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν τέχνην ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύσει τῶν νεωτέρων, ἵνα πολλάκις ἀκούοντες τῶν ἐπῶν ἐκμανθάνωμεν τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς αὐτοὺς καὶ ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων τῶν αὐτῶν ἔργων ἐκείνοις ἐπιθυμῶμεν» [7]. Ὁ δὲ ῥήτωρ Λυκοῦργος τάδε λέγει· «Οὕτως ὑπέλαβον ὑμῶν οἱ πατέρες ἀπονδαῖον εἶναι ποιητὴν τὸν Ὅμηρον, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πεντετηρίδα τῶν Παναθηναίων μόνου τῶν ἄλλων ῥαψῳδεῖσθαι τὰ ἔπη» [8].

Ἐπίσης δ' ὁμολογεῖται ὅτι τοῦ θείου τούτου ποιητοῦ, ἵνα καλῶς κατανοηθῇ τὸ γλωσσικὸν ἰδίωμα καὶ ἀκριβωθῇ τὸ τυπικὸν τῆς γλώσσης αὐτοῦ, ὅπερ τὰ μέγιστα συμβάλλεται

(1) Πλάτ. Ἴων σ.530, δ'. (2) Πλάτ.Πολιτ.595,γ'.598,δ'. (3) Ἀθην. Δειπνοσοφ. Η', σ. 347, ε'. (4) Πλάτ. Πολιτ. 606, ε'. (5) Πλάτ. Πολ. 599,γ'. καὶ Ἀριστοφ. Βάτραχ. 1034—1036. (6) Παραίνες. πρὸς τοὺς νέους § V. πρβλ. καὶ Διογεν.Λαέρτ.Β,α'. (7) Ἰσοκρ. Πανηγ. § 159.
(8) Λυκοῦργ. Λεωκρ. § 102. Πρβλ. καὶ § 103—104.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ εἰς τὴν κατανόησιν τοῦ πνεύματος, εἶναι ἀναγκαία Ὁμηρικὴ Γραμματικὴ ἀξία πως τῶν χρόνων ἐν οἷς ζῶμεν οὖσα καὶ ἀληθῶς τὸν χρώμενον αὐτῇ ὠφελοῦσα.

Ὁμηρικαὶ δὲ Γραμματικαὶ ἢ Γραμματικαὶ καὶ περὶ τοῦ παρ' Ὁμήρῳ γλωσσικοῦ ἰδιώματος διαλαμβάνουσαι γνωσταὶ ἡμῖν εἰσιν αὗται.

Γραμματικὴ τῶν ποιητῶν καὶ τῶν διαλέκτων ὑπὸ Κ. Κούμα ἐν Βιέννῃ 1833, ἥτις διασκευασθεῖσα ὑπὸ Γ. Παπασλιώτου ἐξεδόθη ἐν Ἀθήναις 1856.

Σύντομος πραγματεία περὶ τοῦ ἐπικοῦ μέτρου καὶ ἐπικῆς διαλέκτου ὑπὸ Ἐμμανουὴλ Φωτιάδου μεταφρασθεῖσα ἐκ τῆς τοῦ Θειρσίου ἐν Ἀθήναις 1854.

Κρυγέρου Γραμματικὴ τῶν διαλέκτων καὶ ἰδίως τῆς ἐπικῆς καὶ Ἰωνικῆς μεταφρασθεῖσα εἰς τὴν Ἑλληνικὴν ὑπὸ Α. Γ. Κωστοπούλου ἐν Ἀθήναις 1863.

Εὐαγγ. Κορινιώτου Γραμματικὴ τῆς Ὁμηρικῆς διαλέκτου μεταγλωττισθεῖσα ἐκ τῆς Γερμανικῆς ἐν Ἀθήναις 1867. 1882.

Σταυρινίδη σύντομος πραγματεία περὶ Ὁμηρικῆς ἢ ἐπικῆς διαλέκτου ἐν Κερκύρᾳ 1868.

Θεοδ. Βουκίδη σύνοψις Γραμματικῆς τῆς Ὁμηρικῆς γλώσσης ἐν Ἀθήναις 1875.

Γ. Κ. Παπασλιώτου Γραμματικὴ τῶν διαλέκτων Ὁμηρικῆς καὶ Ἡροδοτείου ἐν Ἀθήναις 1877.

Krüger K.W.Homerische und Herodotische Formenlehre von Pœkel, ἥτις πολλάκις ἐξεδόθη.

Der Dialect der Homerischen Gedichte für gymnasien und angehende philologen bearbeitet von dr J. Van Leeuwen jr und M. B. Mendes Da Costa, ἥτις ἐκ τῆς Ὁλλανδικῆς μετεφράσθη καὶ εἰς τὴν Γερμανικὴν ὑπὸ τοῦ dr. E. Mehler ἐν Λειψίᾳ 1886.

Ἐκ τούτων δὲ τῶν Γραμματικῶν, ἀπεχόμενοι ἵνα εἴπωμεν δυσχερές τι περὶ τῶν ἄλλων καὶ μάλιστα περὶ τῶν ἑλληνιστὶ γεγραμμένων, συντόμως λέγομεν ὅτι μόνον σχεδὸν ἡ τελευταία πολλοῦ λόγου ἀξία ἐστίν, ἣν καὶ πασῶν τῶν ἄλλων μάλιστα προεστησάμεθα ἐν τῇ ἡμετέρᾳ ἐργασίᾳ. Ἡ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τοῦ μακαρίτου Krüger καὶ ἡ τοῦ αὐτοῦ ὑπὸ τοῦ καθηγητοῦ Poekel συμπληρωθεῖσα Ὁμηρικὴ καὶ Ἡροδότειος Γραμματικὴ ἔχουσι μὲν ἀξίαν, ἀλλὰ καὶ ἀπολείπονται πολύ· διότι ὁ συγγραφεὺς ἐνέμεινε τῇ ἀπηρχαιωμένῃ ἑρμηνείᾳ τῶν ἰδιωμάτων τῆς ἐπικῆς διαλέκτου, οὐδαμῶς δ' εἰς μελέτην τῶν γλωσσολογικῶν ἐρευνῶν ἐνέκυψεν οὐδ' ἠκολούθησε ταῖς καθ' ἑκάστην γενομέναις προόδοις περὶ τὰ Ὁμηρικὰ ζητήματα, εἰς ἃ τὰ μέγιστα συνεβάλετο ἡ συγκριτικὴ γλωσσολογία· διότι αὕτη ὅλως σχεδὸν μετέβαλε τὰς περὶ γλώσσης θεωρίας ἑρμηνεύσασα πλεῖστα γλωσσικὰ ζητήματα καὶ καθ' ἑκάστην ἑρμηνεύουσα, ἅτινα ἄλλοτ' ἐνομίζοντο ἡ Ἰωνικὴ ἔκτασις ἢ ποιητικὴ ἄδεια ἢ ἐξαίρεσις ἢ ἀνωμαλία καὶ τὰ τούτοις παραπλήσια. Πόσαι τύπων ἑρμηνεῖαι ἀπεδείχθησαν ἤδη διὰ τῶν γλωσσολογικῶν ἐρευνῶν οὖσαι ἀσύστατοι καὶ ψευδεῖς; Πόσαι ἐτυμολογίαι λέξεων Ὁμηρικῶν πρότερον ἐμνημονεύοντο καὶ ἐπιστεύοντο ὡς ἀληθεῖς, νῦν δὲ διὰ τῆς συγκριτικῆς γλωσσολογίας ἠλέγχθησαν οὖσαι γελοῖαι καὶ ἄλλαι ἀντ' αὐτῶν κρατοῦσιν;

Καὶ πολλὰ ὅμως νεώτερα περὶ Ὁμήρου βιβλία, καὶ περ τῶν συγγραφέων ἀκολουθησάντων ταῖς γενομέναις προόδοις καὶ ἀναμαλύψεσιν, οὐδόλως εἰσὶν ἀπηλλαγμένα πλημμελημάτων· διότι ἡ ἀνθρωπίνη φύσις ἐστὶν ἀείποτε εὐόλισθος καὶ εὐεπίφορος εἰς ἁμαρτήματα. Ὅθεν ἠναγκαζόμεθα ἐν παντὶ βήματι νὰ προσέχωμεν τὸν νοῦν ἵνα μὴ περιπίπτωμεν τοῖς αὐτοῖς καὶ οἱ ἄλλοι ἁμαρτήμασιν, ἀλλ' ἐκκλίνωμεν ταῦτα καὶ διορθῶμεν τὰ παρ' ἄλλοις κακὰ διδάγματα, ἅτινα βαθέως ῥιζοβολοῦσιν ἐν ταῖς τῶν νέων ψυχαῖς· διότι καθῆκον καὶ καθῆκον ἀπαραίτητον παντὸς βιβλία διδακτικὰ συγγράφοντός ἐστιν οὐχὶ ἡ περὶ τὴν ἀργυρολογίαν καὶ καπηλείαν προσοχὴ αὐτοῦ, ἀλλὰ πρὸ παντὸς ἄλλου ἡ ἄκρατος φιλοτιμία καὶ ἡ ἐπιθυμία νὰ καταστῇ χρήσιμος τῇ σπουδαζούσῃ νεότητι καὶ τῇ πατρίδι, τὴν σπουδὴν τῶν Ἑλληνικῶν γραμμάτων εὐχερεστέραν καθιστάς, συγγράμματα μᾶλλον εὐμέθοδα καὶ πως τελειότερα συγγράφων. Αὐτὴ αὕτη ἡ γνώμη ἀείποτε ἐκράτησεν ἡμῶν περὶ τὰς συγγραφὰς καὶ τοῦ λοιποῦ αὕτη θὰ ὠθῇ ἡμᾶς ὡς ὁ κράτιστος ὁδηγὸς εἰς ταύτας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὅ,τι δ' εἴπομεν ὅτι ἐφροντίσαμεν νὰ ἀπαλλάξωμεν τὴν βίβλον τήνδε πολλῶν ἁμαρτημάτων, οἷς ἄλλοι περιέπεσον, τοῦτο δύναται ὁ τὸν νοῦν προσέχων νὰ διαγνῷ, ἐὰν εἰς πᾶν αὐτῆς μέρος ἀποβλέψῃ, ἐνταῦθα δὲ μεταχειριζόμεθα καὶ μικρὰ δείγματα εἰς βεβαίωσιν τῶν ὑφ' ἡμῶν λεγομένων. Ὁ Van Leeuwen καὶ ἐν τῇ Ὁμηρικῇ Γραμματικῇ[1] καὶ ἐν τῇ Μνημοσύνῃ[2] νομίζει ὅτι παρ' Ὁμήρῳ ὁ ἀόριστος *ἐσπόμην* ἔχει ὑποτακτ. *ἕσπωνται*, εὐκτ. *ἑσποίμην*, προστ. *ἕσπεσθω*, διὸ καὶ ἀντὶ τῆς προστ. *σπεῖο*[3] γράφει «ἕσπεο», ἀπαρεμφ. *ἑσπέσθαι*, μετοχ. *ἑσπόμενος*. Ταῦτα διδάσκονται καὶ ἐν τοῖς Ὁμηρικοῖς Λεξικοῖς· ἀλλὰ περὶ τῶν πλημμελῶν τούτων τύπων ἐγράψαμεν ἄλλοτε μικρὰν πραγματείαν[4] ἀποδείξαντες ὅτι τὰ χωρία ταῦτα ὀφείλουσι νὰ γραφῶσιν ὧδε· «*ἐπὶ δὲ σπῶνται*»[5], «*ἅμα σποίμην*»[6], «*ἅμα σπέσθω*[7], «*ὁ δὲ σπόμενος*»[8], «*τούτου γε σπομένοιο*»»[9]. Παράβαλε δὲ καὶ *ἐπισπέσθαι*[10], *ἐπισπόμενος*[11], *μετασπόμενος*[12]. Τὰς γραφὰς δέ, ἃς ἡμεῖς νομίζομεν τὰς μόνας ὀρθάς, ὁ Nauck εἰσήγαγεν εἰς τὸ κείμενον τῆς ὑπ' αὐτοῦ γενομένης ἐκδόσεως τῶν Ὁμηρικῶν ἐπῶν.

Ἐπίσης ὁ Van Leeuwen ἐν τῇ Ὁμηρικῇ Γραμματικῇ[13] νομίζει ὅτι τὸ παρ' Ὁμήρῳ *κομείτων*[14] ἐστὶ τρίτον πληθ. τῆς προστακτικῆς ἀντὶ τῆς καταλήξεως -*εόντων*· καταλῆγον ἀνωμάλως εἰς -*είτων*. Ἀλλὰ τοῦτό ἐστι πλημμελές· διότι τὸ *κομείτων* ἐστὶ τρίτον δυϊκὸν τῆς προστακτικῆς, οὐχὶ δὲ τρίτον πληθυντικόν[15]. Ἀλλ' ἴσως ἀντ' αὐτοῦ γραπτέον *κομεύντων* (=κομεόντων) κατ' εἰκασίαν Nauck.

Τοῦ *ἀείρομαι* ῥήματος ἡ μᾶλλον τοῦ *ἄορμαι* μνημονεύεται κακῶς καὶ ἀόριστος μέσος *ἠράμην*, ὅστις παρελήφθη ἐκ τῆς Ἀττικῆς διαλέκτου, οὐδόλως δ' Ὁμηρικός ἐστιν· διότι παρ' Ὁμήρῳ ἀντ' αὐτοῦ εὔχρηστός ἐστιν ὁ ἀόριστος δεύτε-

(1) Ἐκδόσ. E. Mehler σελ. 97, 105. (2) Mnemos. 1885 σελ. 193—194.
(3) Ἰλ. Κ, 285. (4) Ἑβδομὰς 1886 σελ. 191. (5) Ὀδ. Μ, 349.
(6) Ὀδ. Τ, 579. Φ, 77. (7) Ἰλ. Μ, 350. 363. (8) Ἰλ. Μ, 395. Ν, 570. (9) Ἰλ. Κ, 246. (10) Ἰλ. Ξ, 521. (11) Ἰλ. Ν, 495. Ὀδ. Γ, 215. Ξ, 262. κτλ. (12) Ἰλ. Ν, 567. Ὅρα καὶ ἐνταῦθα § 507, 8.
(13) Ἐκδόσ. Mehler σελ. 66, σημ. 4. (14) Ἰλιάδ. Θ, 109 +.
(15) Ὅρα ἐνταῦθα § 428 καὶ Κόντ. Λόγ. Ἑρμ. Τόμ. Α', σ. 66—67.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρος *ἠρόμην*[1] καὶ *ἀρόμην*[2], ὑποταχ. *ἄρωμαι*[3], εὐκτ. *ἀροίμην*[4] καὶ ἀπαρέμφ. *ἀρέσθαι*[5].

Τοῦ μέλλοντος *ἀντιᾰ́ω*[6] καὶ τοῦ ἀορίστου *ἠντίᾱσα* νομίζεται ὑπό τινων ὅτι ἐνεστώς ἐστιν ὁ *ἀντιάω*. Τοῦτο ἐστιν ἡμαρτημένον· διότι ἐξ ἐνεστῶτος *ἀντιάω* οὐδαμῶς δύναται νὰ σχηματισθῇ μέλλων καὶ ἀόρ. μετὰ βραχέος φωνήεντος, ἀλλ' ἀναγκαίως ἔχει νὰ γένηται *ἀντιᾰ́σω*, ἐξ οὗ δὲν προέρχεται ὁ Ἀττικὸς μέλλων *ἀντιᾰ́ω*, ἢ μᾶλλον *ἀντιήσω*[7] καὶ ἀόρ. *ἠντίᾱσα* ἢ μᾶλλον *ἠντίησα*. Ὅθεν κατάδηλον γίνεται ὅτι ἐνεστώς ἐστιν ὁ *ἀντιάζω*, ὅστις οὐδόλως μὲν ἀπαντᾷ παρ' Ὁμήρῳ, ηὕρηται δὲ παρ' Ἀττικοῖς, παρὰ Πινδάρῳ[8] καὶ Ἡροδότῳ[9].

Τὸ *ἀτιμάω* ῥῆμα, ὅπερ παρ' Ὁμήρῳ ηὕρηται μόνον κατ' ἐνεστῶτα *ἀτιμᾷ*[10], παρατατ. *ἀτίμα*[11] καὶ *ἀτίμων*[12], μέλλ. *ἀτιμήσω*[13] καὶ ἀόρ. *ἠτίμησα*[14] καὶ *ἀπητίμησε*[15], νομίζεται ὑπὸ τοῦ Nauck ὕποπτον, ἀλλὰ καθ' ἡμᾶς ἐστιν ἀπηλλαγμένον πάσης ὑποψίας· διότι ἐστὶν ἀρχαία ἀνάγνωσις[16] καὶ λείψανον ἀρχαικῆς συνθέσεως τοῦ Α στερητικοῦ καὶ τοῦ *τιμάω*. Τοιαῦται δ' ἀρχαϊκαὶ συνθέσεις εἰσὶ καὶ τὸ *δύσμητερ*[17] καὶ *δύσπαρι*[18] καὶ τὸ παρ' Εὐριπίδῃ *δυσθῆσκον*[19], ἀνθ' οὗ φερομένου ὑπὸ πάντων τῶν χειρογράφων ὁ Nauck ἔγραψε «*δυσθνητοῦν*», ἤτοι

πᾶν δὲ σῶμ' ἄνω κάτω
ἤσπαιρεν, ἠλάλαζε *δυσθνητοῦν* φόνῳ.

Ἀλλὰ τὸ *δυσθνητέω* - ῶ προϋποτιθὲν τὸ ἄρρητον *δύσθνητος*

---

(1) Ἰλ. Γ, 373. Ξ, 510. Σ, 165. Χ, 393. Ὀδ. Α, 240. Δ, 107. Ω, 33.
(2) Ἰλ. Ι, 124. 188. Λ, 625. Ψ, 592. (3) Ἰλ. Α, 290. Μ, 435. Π, 84.
(4) Ἰλ. Δ, 95. Ε, 3. 273. Σ, 121. (5) Ἰλ. Μ, 407. Ξ, 365. Σ, 294.
(6) Ὅρα ἐνταῦθα § 479. 515, 2. (7) Ὅρα ἐνταῦθα § 547. (8) Πινδάρ. Νέμεον. Ι', 68. (9) Ἡροδοτ. Α', 166. Ὅρα καὶ Cobet Mnemos. 1874 σελ.395. (10) Ὀδυσ. Π, 307+. (11) Ὀδυσ.Φ,99+. (12) Ὀδυσ.Ψ,28+, ἔνθα ὑπὸ τοῦ Nauck μεταγράφεται εἰς «ἀτίμασαν». (13) Ἰλ. Ι, 62. Θ, 163. Ὀδ. Π, 274., ἔνθα ὑπ' ἄλλων γράφεται «ἀτιμάσσω». (14) Ἰλ. Α, 11. 94. 356. 507. Β, 240. Ζ, 522. Ι, 111. Ξ, 127. Ὀδ. Ξ, 57. Υ, 133., ἔνθα ὑπ' ἄλλων γράφεται «ἀτίμασσα». (15) Ἰλ. Ν, 113+, ἔνθ' ὁ μὲν Nauck γράφει «ἀπητίμασσε», ὁ δὲ Cobet «ἀρ' ἠτίμησε» ἐν Mnemos. 1874 σελ. 368. (16) Ὅρα μαρτυρίας ἐν περιοδ. Σωκράτ. Τόμ. Α', σελ. 254—257. (17) Ὀδ.Ψ,97+. (18) Ἰλ.Γ,39.Ν,769. (19) Εὐριπ. Ἠλέκτρ.843.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φαίνεταί μοι οὐχὶ ἐπιτυχὴς διόρθωσις ὄν. Ἐὰν γένῃ ἀνάγκη διορθώσεως, ἴσως γραπτέον «δυσθανοῦν» (=δυσβανὲς ὄν) ἐκ τοῦ *δυσθανέω-ῶ*=*δυσθανατέω-ῶ*.

Ὁ παρ' Ὁμήρῳ παρακείμενος *τετρηχυῖα* (1) καὶ ὑπερσ. *τετρήχει*(2) ὑφ' ἁπάντων νομίζεται ὅτι ἔγινεν ἐκ τοῦ *ταράσσω*, ὅπερ δὲν εἶναι ὀρθόν· διότι οὕτως ὤφειλον οὗτοι νὰ σχηματισθῶσιν, ὡς παρὰ μεταγενεστέροις ηὕρηνται, *τετάραχα* καὶ *ἐτεταράχειν*. Ὅθεν νομίζομεν ὅτι οἱ χρόνοι οὗτοι γίνονται ἐξ ἀρρήτου ἐνεστῶτος *θρήσσω* (=Ἀττικ. *θρᾴττω*) ἐκ ῥίζης *τρηχ-*(*τρηχύς*=Ἀττικ. *τρᾳχύς*) (3).

Τὸ *ἀϊδρείη*, *πολυϊδρείη* καὶ *ἰδρείη* (=*ἀFιδρείη*, *πολυFιδρείη*, *Fιδρείη*) παρ' Ὁμήρῳ γράφονται διὰ τῆς ΕΙ διφθόγγου *ἀϊδρείη*, *πολυϊδρείη*, *ἰδρείη*. Ἡ δὲ διὰ διφθόγγου γραφὴ αὐτῶν ἐστι πλημμελὴς προελθοῦσα ἐξ ἀγνοίας καὶ πλάνης τῶν παλαιῶν, οἵτινες ἀδυνατοῦντες νὰ ἑρμηνεύσωσι τὴν μακρὰν παραλήγουσαν *ἴδρις*,-*ίος*, *ἰδρι-ύω* καὶ συναιρέσει *ἰδρύω* ἔπλασαν κατ' ἀνάγκην τὴν διὰ διφθόγγου γραφὴν αὐτῶν, ὡς διδάσκουσιν οἱ τοῦ Ὁμήρου ἑρμηνευταὶ καὶ σχολιασταί. «*Ἡ παραλήγουσα τῆς ἀϊδρείας διὰ διφθόγγου οὕτω γράφεται διὰ τὴν κλίσιν τοῦ ἴδρις ἴδρεως ὡς ὄρεως*» (4). Ἡ γενικὴ τοῦ *ἴδρις* ἐστὶν ἀδύνατον νὰ σχηματισθῇ Ἰωνικῶς *ἴδρεως*, ἀλλ' *ἴδριος* (5). Ὅθεν ἡ διὰ διφθόγγου γραφή ἐστι πλημμελής, ὡς καὶ ὁ Cobet ἐδίδαξεν.

Παρ' Ὁμήρῳ φέρεται καὶ ἡ λέξις *ἀγκὰς* νομιζομένη ὡς ἐπίρρημα ἐν τοῖσδε τοῖς χωρίοις.

ἡ δ' *ἀγκὰς* ἐλάζετο (6) θυγατέρα ἦν (Ἰλ. Ε, 371).
ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἦν παράκοιτιν (Ἰλ. Ξ, 346).
ἔχε δ' *ἀγκὰς* ἄκοιτιν (Ἰλ. Ξ, 353).
ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν (Ἰλ. Ψ, 711).
ἀγκὰς ἑλόντ' ἐμὸν υἱὸν (Ἰλ. Ω, 227).
τρόπιν *ἀγκὰς* ἑλὼν νεὸς (Ὀδυσ. Η, 252).

Ἡ λέξις δ' αὕτη ὑπάρχει πάντοτε πρὸ φωνήεντος, ἔνθα γρα-

(1) Ἰλ.Η,346. (2) Ἰλ.Β,95. (3) Ὅρα ἐνταῦθα § 491 καὶ Ἡμέτ.Λεξικ.Ἀττικ. Ῥημάτ.σελ.130. (4) Εὐσταθ.ἐν Ὀδυσ.Κ,231. (5) Ὅρα ἐνταῦθα § 99 καὶ 311.
(6) Ἡ κατά τινας τῶν ἀρχαίων γραμματικῶν «ἐλάζυτο» γραπτέον. Ὅρα μαρτυρίας περὶ τούτου ἐν τῷ Ὁμηρ. Λεξικ. τοῦ Ἐδελιγγίου ἐν λ. λάζομαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτέον «*ἀγκάσ'*», ἅπαξ δὲ πρὸ συμφώνου, ἔνθα γραπτέον «*ἀγκάσι δ' ἀλλήλω λαβέτην*»· διότι ἐστὶ δοτικὴ πληθ. τοῦ *ἀγκών* (=ἀγκάλη), γενομένη κατὰ συγκοπὴν καὶ μεταβολὴν τοῦ συμφωνοειδοῦς φθόγγου ν„ εἰς α[1]. Οὕτως ἔγινε καὶ τὸ Ἀττικὸν *Φερρέφαττα* ἐκ τοῦ *Περσεφόνη* (=Περσέφ ν„-τja) καὶ τὸ Ὁμηρικὸν *πρόφρασσα* ἐκ τοῦ *πρόφρων* (=πρόφρ ν„-τja). Εὐτυχῶς δ' ἡ δοτικὴ αὕτη εὑρίσκεται πλήρης παρ' Ὀππιανῷ·

ὡς δ' ὅτε περθομένης δηΐων ὑπὸ χερσὶ πόληος
ἑλκομένων παίδων τε δορικτήτων τε γυναικῶν
κοῦρον ἀνὴρ δειρῇ τε καὶ *ἀγκάσιν* ἐμπεφυῶτα
γειναμένης ἐρύσῃ πολέμου νόμῳ[2].

καὶ παρὰ Στράτωνι τῷ Σαρδιανῷ·

καὶ μὴν καὶ τόν, ὅτ' ἐστὶν ἐν *ἀγκάσιν*, εὐθὺ θέλοντα
καὶ παρέχοντα χύδην οὐ πάνυ δή τι θέλω[3].

Καὶ ταῦτα μὲν οὕτω. Παραλείποντες δ' ἄλλα γραμματολογικὰ περὶ Ὁμήρου ζητήματα, ἅτινα ἀναβαλλόμεθα εἰς ἄλλον εὐθετώτερον καὶ χρόνον καὶ χῶρον, ἤτοι περὶ ὑπάρξεως τοῦ ποιητοῦ, περὶ τοῦ τρόπου καθ' ὃν παρεδόθησαν ἡμῖν τὰ Ὁμηρικὰ ποιήματα καὶ ἄλλα τούτοις παραπλήσια, ἀνακινηθέντα ὑπὸ τοῦ μεγάλου φιλολόγου Οὐόλφιου, ἐν τῷ παρόντι ἀρκούμεθα νὰ εἴπωμεν μόνον ὅτι τὴν ἐν τῷ Ὁμηρικῷ κειμένῳ εἰσαγωγὴν τοῦ F πολλοὶ λόγοι μετρικοὶ καὶ εὐφωνικοὶ καθιστᾶσιν ἀναγκαίαν, ἄνευ δ' αὐτοῦ πλεῖστα ζητήματα Ὁμηρικὰ ἀνερμήνευτα μένουσιν[4].

Πρὸς τοῖς ἄλλοις δὲ ἀναγκαίαν ἐνομίσαμεν καὶ σύντομον διδασκαλίαν περὶ *δακτυλικοῦ ἑξαμέτρου* τῇ Ὁμηρικῇ Γραμματικῇ νὰ προσθῶμεν· ἀλλὰ ταύτην δὲν ἐπετάξαμεν, ἀλλὰ προετάξαμεν ἐν ταῖς *εἰσαγωγικαῖς γνώσεσι*· διότι τὰ ἑπόμενα τῆς Γραμματικῆς μέρη προαπαιτοῦσι τὴν τοιαύτην γνῶσιν. Ἐνταῦθα δ' ἀπεδεξάμεθα τοὺς ὅρους *θέσις* καὶ *ἄρσις*

(1) Ὅρα Grammat. Meyer ἔκδ. δ'. σελ. 354. πρβλ. καὶ τὸ ἀγκόνη (=ἀγκόν-jη), ἀγκάσι (=ἀγκα(ο)ν„σι). Ὅρα ἐνταῦθα § 264, 1.
(2) Ὀππιαν. Ἁλιευτικ. Β. 313—316.
(3) Ἐπίγραμμ. 42 ἐν Ἀναλέκτ. παλαιῶν Ἑλλ. ποιητ. τόμ. Β', σελ.369.
(4) Ὅρα ἐνταῦθα § 62. 96. 99. 100. 364. 365. 366.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς οἱ παλαιοὶ μετρικοὶ ἐνόουν αὐτούς, οὐχὶ δ' ὡς οἱ νεώτεροι συγχέαντες τὰ ὀνόματα καλοῦσι *θέσιν* ὅ,τι οἱ παλαιοὶ *ἄρσιν* καὶ *ἄρσιν* ὅ,τι ἐκεῖνοι *θέσιν*.

Ἐν τέλει δὲ πλὴν τοῦ ἀλφαβητικοῦ πίνακος τῶν ἀνωμάλων ὀνομάτων καὶ ῥημάτων πρὸς ταχυτέραν εὕρεσιν αὐτῶν ἔχομεν καὶ πίνακα κατὰ ῥαψῳδίας καὶ στίχους τῶν παρ' Ὁμήρῳ χωρίων, ἅτινα ἐνταῦθα διορθοῦνται ἢ χρήζουσι διορθώσεως.

Τοιαύτη εἶναι ἡ παροῦσα Ὁμηρικὴ Γραμματική, ἣν ἐνομίσαμεν δίκαιον νὰ ἀφιερώσωμεν τῷ φιλογενεστάτῳ Κωνσταντίνῳ Ζάππᾳ, ὅστις μέγιστος ἐθνικὸς εὐεργέτης τυγχάνει ἅτε γενόμενος προστάτης τῆς ἐν Ἑλλάδι βιομηχανίας κἀντεῦθεν τῆς ἰδιωτικῆς καὶ ἐθνικῆς εὐημερίας πρόξενος, ἱδρυτὴς τοῦ ἐν Κωνσταντινουπόλει φερωνύμου παρθεναγωγείου καὶ πολλῶν ἄλλων ἐκπαιδευτικῶν ἱδρυμάτων, παντοίων δ' ἀγαθῶν ἀγαθὸς παραστάτης καὶ ἀντιλήπτωρ. Τοιούτῳ ἀνδρὶ βεβαίως ἥρμοζε νὰ προσενέγκωμεν ἐμβριθέστερα καὶ σπουδαιότερα συγγράμματα· ἀλλὰ καὶ ἡ τοῦ παρόντος πονήματος ἀφιέρωσις οὐδαμῶς κωλύει ἡμᾶς νὰ ποιήσωμεν τοῦτο ἐν τῷ μέλλοντι δι' ἄλλων. Ἐν γε τῷ παρόντι ἔναυλον ἀεὶ ἔχοντες τὴν ἐκ τῆς Ὀλυμπιακῆς ἐκθέσεως ἡμετέραν ἀγαθὴν ἐντύπωσιν οὐδόλως ἠδυνήθημεν νὰ καταστείλωμεν τὸ ἐν τῇ καρδίᾳ ἡμῶν πρὸς τὸν ἄνδρα πλεονάζον σέβας καὶ κατ' ἀνάγκην ἀφιεροῦμεν αὐτῷ τὴν βίβλον ταύτην ὡς δεῖγμα τῆς πρὸς αὐτὸν ἐθνικῆς εὐγνωμοσύνης καὶ τρανότατον τεκμήριον τῆς ἐν τῇ καρδίᾳ ἑκάστου Ἕλληνος τιμῆς, ἣς παρὰ πάντων διαφερόντως ὁ φιλογενέστατος ἀνὴρ τυγχάνει.

Ἀντὶ δὲ τῶν ἡμετέρων πόνων μόνην ἀξίαν ἀμοιβὴν ἡμεῖς θὰ ἐνομίζομεν τὴν εὐμενῆ κρίσιν ὅτι ἐργασάμενοι ἐπ' ἀγαθῷ τῶν σπουδαζόντων καὶ τῆς πατρίδος συνετελέσαμέν πως πρὸς τοῦτο ἢ προσηγγίσαμεν κἂν τῇ ἡμετέρᾳ προθέσει.

Ἐν Ἀθήναις Ἀπριλίου μεσοῦντος 1889.

Γεώργιος Δ. Ζηκίδης.

ΣΗΜ. Τὸ σημεῖον + σημαίνει ὅτι ὁ τύπος φέρεται ἅπαξ παρ' Ὁμήρῳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΓΡΑΜΜΑΤΙΚΗ

ΟΜΗΡΙΚΗ

Εἰσαγωγικαὶ γνώσεις.

§ 1. Ἡ Ἑλληνικὴ γλῶσσα διεκρίνετο εἰς 4 διαλέκτους, τὴν *Αἰολικήν*, *Ἰωνικήν*, *Δωρικήν* καὶ *Ἀττικήν*.

§ 2. Τὰ *Ὁμηρικὰ ποιήματα*, περὶ ὧν πραγματεύεται ἡ *Ὁμηρικὴ Γραμματική*, εἶναι γεγραμμένα εἰς *Ἰωνικὴν διάλεκτον*(1), ἂν καὶ εὑρίσκονται ἐν αὐτοῖς ἰδιώματα καὶ τῶν ἄλλων διαλέκτων, μάλιστα δὲ τῆς *Αἰολικῆς*.

§ 3. Ποιήματα ἀποδιδόμενα τῷ Ὁμήρῳ εἶναι ἡ *Ἰλιὰς* καὶ ἡ *Ὀδύσσεια*, οἱ *Ὁμηρικοὶ Ὕμνοι*, *Ἐπιγράμματά* τινα καὶ ἡ *Βατραχομυομαχία*.

ΣΗΜ. Οἱ Ὁμηρικοὶ Ὕμνοι, τὰ Ὁμηρικὰ ἐπιγράμματα καὶ ἡ Βατραχομυομαχία εἶναι μεταγενέστερα ποιήματα ἀποδοθέντα τῷ Ὁμήρῳ.

§ 4. Ἡ *Ὁμηρικὴ Γραμματικὴ* πραγματεύεται περὶ τοῦ γλωσσικοῦ ἰδιώματος τῶν Ὁμηρικῶν ποιημάτων, καθ' ὅσον τοῦτο εἶναι διάφορον τοῦ ἰδιώματος τῆς Ἀττικῆς διαλέκτου.

§ 5. Τὰ *Ὁμηρικὰ ποιήματα* ὑπὸ τῶν παλαιῶν δὲν ἐμελῳδοῦντο, ἀλλ' *ἐρραψῳδοῦντο*, ἤτοι ἀπηγγέλλοντο ἄνευ μέλους(2). Εἶναι δὲ πεποιημένα ταῦτα κατὰ *στίχον*(3).

§ 6. *Στίχος* τις ἀποτελεῖται ἐξ ὡρισμένου ἀριθμοῦ μετρικῶν *ποδῶν*. Ὁ δὲ *πούς* συνίσταται ἐκ τριῶν ἢ πλειόνων *πρώτων χρόνων* (ἤτοι *σημείων*), ἤτοι εἶναι *τρίσημος*, *τετράσημος*, κτλ.

---

(1) Ἡ Ἰωνικὴ διάλεκτος διακρίνεται εἰς ἀρχαίαν καὶ νεωτέραν. Ἐν τῇ ἀρχαίᾳ Ἰωνικῇ διαλέκτῳ, ἥτις μετὰ τοῦ δακτυλικοῦ ἑξαμέτρου ἀποτελοῦσα τὸ γλωσσικὸν ἰδίωμα τοῦ ἔπους ὠνομάσθη καὶ ἐπικὴ διάλεκτος, ἐγράφησαν τὰ Ὁμηρικὰ ποιήματα· ἐν δὲ τῇ νεωτέρᾳ Ἰωνικῇ ἔγραφεν ὁ Ἡρόδοτος καὶ ὁ Ἱπποκράτης.

(2) Ἀριστοτέλ. περὶ Ποιητικ. 4, σελ. 1447, ά.

(3) Ἡ Ἰλιὰς ἔχει 15693 στίχους, ἡ δὲ Ὀδύσσεια 12110.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 7. Αἱ συλλαβαὶ εἶναι *βραχεῖαι* καὶ *μακραί*. Πᾶσα δὲ μακρὰ (¯) ἰσοῦται δύο βραχείαις (˘˘), ἐκ δὲ τῆς βραχείας ἀποτελεῖται ὁ *πρῶτος χρόνος* ἢ τὸ *σημεῖον* (˘).

§ 8. Πόδες καλοῦνται εἰς στιχουργίαν εἶναι οἱ συγκείμενοι ἐκ μακρῶν καὶ βραχειῶν συλλαβῶν ἀνταλλασσομένων πρὸς ἀλλήλας. Τοιοῦτοι δ' εἶναι οἱ ἑπόμενοι.

ὁ *ἴαμβος* (˘ ¯) } πόδες ὁ *ἀνάπαιστος* (˘˘ ¯) } πόδες
ὁ *τροχαῖος* (¯ ˘) } τρίσημοι. ὁ *δάκτυλος* (¯ ˘˘) } τετράσημοι.

§ 9. Ὁ μὲν *δάκτυλος* παρελαμβάνετο εἰς τὸ διηγηματικὸν εἶδος τῶν ποιημάτων, ὁ δὲ *ἴαμβος* εἰς τὴν δραματικὴν ποίησιν, ὁ δὲ *τροχαῖος* καὶ ὁ *ἀνάπαιστος* εἰς τὸ *μέλος*.

ΣΗΜ. Ἡ σήμερον ἐν χρήσει ὑπάρχουσα ὁμοιοκαταληξία τοῦ τέλους τῶν στίχων ἦτο ἄγνωστος τοῖς παλαιοῖς.

§ 10. Ἡ μακρὰ συλλαβή, ἥτις δέχεται τὸν ῥυθμικὸν *τόνον* τοῦ ποδός, καλεῖται *θέσις* τοῦ ποδός, τὸ δὲ λοιπὸν μέρος αὐτοῦ συγκείμενον ἐκ μιᾶς ἢ δύο συλλαβῶν καλεῖται *ἄρσις*.

ΣΗΜ. Οὕτως ἐκάλουν ταῦτα οἱ ἀρχαῖοι μετρικοί, παραλαβόντες τὰ ὀνόματα ἐκ τῆς θ ἑ σ ε ω ς καὶ ἄ ρ σ ε ω ς τῶν ποδῶν ἐν τῷ βηματισμῷ, οἱ δὲ μεταγενέστεροι συνέχεαν τὰ ὀνόματα καλοῦντες ἄ ρ σ ι ν ὅτι οἱ ἀρχαῖοι ἔλεγον θ έ σ ι ν καὶ θ έ σ ι ν ὅ,τι ἐκεῖνοι ἄ ρ σ ι ν [1].

§ 11. Ὁ *ἴαμβος* καὶ ὁ *ἀνάπαιστος* ἄρχονται ἀπὸ τῆς ἄ ρ σ ε ω ς, ὁ δὲ *τροχαῖος* καὶ ὁ *δάκτυλος* ἀπὸ τῆς *θέσεως*.

§ 12. Ἡ *Ἰλιὰς* καὶ ἡ *Ὀδύσσεια* ἀνήκουσιν εἰς τὸ διηγηματικὸν εἶδος τῆς ποιήσεως, ἥτις καλεῖται ἔπος (= Ἀττικ. *λόγος*).

§ 13. Τὸ μέτρον τοῦ ἔπους εἶναι *δακτυλικόν*· διότι τοῦτου γίνεται χρῆσις ἐν τῇ διηγήσει τῆς τύχης τῶν ἡρώων, ὅθεν λέγεται καὶ *ἡρῷον* ἢ *ἡρωικὸν μέτρον*.

§ 14. Τὸ *ἡρωικὸν μέτρον* σύγκειται ἐκ δύο τριποδιῶν, ἑκατέρα δὲ *τριποδία* ἔχει τρεῖς *βάσεις*, τὸ δὲ ὅλον ἓξ *βάσεις*. Διὰ τοῦτο λέγεται καὶ *δακτυλικὸν ἑξάμετρον* [2] ἢ *ἑξάμετρος* (στίχος).

§ 15. Ἑκατέρα τριποδία τοῦ ἑξαμέτρου ἔχει τρεῖς ῥυθμικοὺς τόνους, ἕνα κύριον ἔχοντα τὴν μεγίστην δύναμιν, ἕνα δευτερεύοντα ἔχοντα ἀσθενεστέραν τοῦ πρώτου δύναμιν καὶ ἕνα ἀσθενέστατον[3].

---

(1) Ὅρα Βακχεί. εἰσαγ. Μουσικ. Τέχν. σ. 67 καὶ 79 ἐκδόσ. Rudolf Westphal. (2) Μέτρον ἐνταῦθα = βάσις. (3) Τοῦτο δυνάμεθα νὰ παραστήσωμεν διὰ τοῦδε.

τᾱ′′′τᾰτᾰ, τᾱ′′τᾰτᾰ, τᾱ′τᾰτᾰ || τᾱ′′′τᾰτᾰ, τᾱ′′τᾰτᾰ, τᾱ′τᾰτᾰ

ἔνθα διὰ τοῦ τᾱ′′′ παριστάνομεν τὸν ῥυθμικὸν τόνον τὸν ἔχοντα τὴν μεγίστην δύναμιν, διὰ δὲ τοῦ τᾱ′′ τὸν δευτερεύοντα τόνον, διὰ δὲ τοῦ τᾱ′ τὸν ἀσθενέστατον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 16. Ἀντὶ τῶν δύο βραχειῶν συλλαβῶν τῆς ἄρσεως δύναται νὰ τεθῇ καὶ μακρὰ συλλαβή (§ 7). Ὅθεν ἀντὶ τοῦ δακτύλου ὑπάρχει καὶ ἄλλος πούς ἐν χρήσει ὁ *σπονδεῖος* (– –). Ὁ δὲ τελευταῖος πούς τοῦ στίχου εἶναι πάντοτε δισύλλαβος, *σπονδεῖος* (– –) ἢ *τροχαῖος* (– ⏑), διότι ἡ τελευταία συλλαβὴ τοῦ στίχου εἶναι ἀδιάφορος (ἤ μακρὰ ἢ βραχεῖα).

Τὸ σχῆμα τοῦ ἡρωικοῦ στίχου εἶναι τόδε.

– ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑

μῆνιν ἄ|ειδε θε|ὰ Πη|ληϊά|δεω Ἀ|χι|λῆος (Ἰλ. Α, 1).

ἄνδρα μοι| ἔννεπε|, μοῦσα, πο|λύτροπον|, ὃς μάλα πολλὰ (Ὀδ. Α, 1).

§ 17. Στίχοι μετὰ πέντε ἑφεξῆς δακτύλων (1) δὲν εἶναι πολὺ συνήθεις, ὡς ἐν Ἰλ. Α, 10:

νοῦσον ἀ|νὰ στρατὸν| ὦρσε κα|κήν, ὀλέ|κοντο δὲ λαοί.

καὶ ἐν Ὀδυσ. Γ, 272:

τὴν δ' ἐθέ|λων ἐθέ|λουσαν ἀ|νήγαγε| ὄνδε δό|μονδε.

§ 18. Στίχοι μετὰ πέντε ἑφεξῆς σπονδείων εἶναι παρ' Ὁμήρῳ σπανιώτατοι (2 ἐν Ἰλιάδι καὶ 4 ἐν Ὀδυσσείᾳ), ὡς Ὀδ. Χ, 175 καὶ 192:

σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες.

ἔνθα ὅμως ὑπ' ἄλλων γράφεται «ἐξ αὐτόο». Ὅρα καὶ Ἰλ. Α, 130. Ψ, 221. Ὀδ. Ο, 334. Φ, 15.

§ 19. Συνήθως ἀναμιγνύονται *σπονδεῖοι* καὶ *δάκτυλοι* ἐν τοῖς στίχοις, ἐξ οὗ γεννᾶται ποικιλία. Οἱ δὲ σπονδεῖοι τίθενται συνήθως ἐν τῷ πρώτῳ καὶ δευτέρῳ ποδί, ἐν δὲ τῷ τετάρτῳ ποδὶ εἶναι ἧττον συνήθεις, ἐν δὲ τῷ τρίτῳ πολλῷ σπανιώτεροι, ἐν δὲ τῷ πέμπτῳ πολλῷ ἔτι σπανιώτεροι (2).

§ 20. Στίχοι ἔχοντες κατὰ τὸν πέμπτον πόδα *σπονδεῖον* καλοῦνται *σπονδειάζοντες*. *Σπονδειάζοντες* δὲ ἢ καὶ *ὁλοσπόνδειοι* καλοῦνται καὶ οἱ ἔχοντες ὅλους τοὺς πόδας σπονδείους.

§ 21. Ἐν τῷ τέλει σπονδειάζοντος στίχου συνήθως ὑπάρχει λέξις *τετρασύλλαβος*, ὡς Ἰλ. Α, 11:

οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα.

---

(1) Τοιοῦτοι στίχοι ἐν μὲν τῇ Ἰλιάδι εἶναι 2966, ἐν δὲ τῇ Ὀδυσσείᾳ 2237.

(2) Στίχοι μεθ' ἑνὸς μόνον σπονδείου ἐν τῇ Ἰλιάδι εἶναι 6624, ἐν δὲ τῇ Ὀδυσσείᾳ 4877. Μετὰ 2 σπονδείων εἶναι ἐν μὲν τῇ Ἰλιάδι 4716, ἐν δὲ τῇ Ὀδυσ. 3892. Μετὰ 3 σπονδείων ἐν μὲν τῇ Ἰλιάδι εἶναι 1284, ἐν δὲ τῇ Ὀδυσ. 1035. Μετὰ 4 σπονδείων εἶναι ἐν μὲν τῇ Ἰλιάδι 101, ἐν δὲ τῇ Ὀδυσσείᾳ 65. Ὅρα Arthur Ludwig Aristarchs Homer. Textkrit. Τόμ. Β', σελ. 308-9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ τρισύλλαβος δὲ λέξις εὑρίσκεται, ὡς Ἰλ. Α, 250:

τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων.

§ 22. Καὶ δισύλλαβος εἶναι ἡ τελευταία λέξις τοῦ στίχου (Ἰλ. Β, 718. Λ, 639. Π, 744. 812. Ὀδ. Ι, 151. Ξ, 239) Μονοσύλλαβοι δὲ τελικαὶ λέξεις τοῦ στίχου εἶναι σπάνιαι, ὡς Ἰλ. Δ, 182:

ὡς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.

Ὅρα καὶ Ἰλ. Γ, 2. Δ, 482. Π, 238. Θ, 150. Λ, 741. Π, 384. Τ, 117. Φ, 340. 387, κτλ. Ὁμοίως εὑρίσκονται καὶ στίχοι, ὧν ἡ τελευταία λέξις εἶναι μονοσύλλαβος ἐγκλιτική, ὡς ἐν Ἰλιαδ. Ε, 448:

ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε.

Ὅρα καὶ Ὀδυσ. Θ, 140.

§ 23. Ἐν τῇ ἀπαγγελίᾳ στίχου τινὸς ἀναγκάζεται τις φυσικῶς καὶ αὐτομάτως περὶ τὸ μέσον αὐτοῦ νὰ κάμῃ παῦσίν τινα, δι' ἧς ὁ στίχος διαιρεῖται εἰς δύο μέρη. Ἡ παῦσις αὕτη γινομένη πάντοτε ἐν τῷ τέλει τῆς λέξεως λέγεται *διαίρεσις* μέν, ὅταν συμβαίνῃ μετὰ τὸ τέλος τοῦ μετρικοῦ ποδός, *τομὴ* δέ, ὅταν συμβαίνῃ ἐν τῷ μέσῳ τοῦ ποδός.

§ 24. Ἡ τομὴ τοῦ ἑξαμέτρου δὲν συμβαίνει ἐν τῷ μέσῳ τῶν δύο τριποδιῶν, διότι τότε θὰ ἐγεννᾶτο μονοτονία, ἀλλ' ἤτοι μετὰ τὴν θέσιν τοῦ τρίτου ποδός, καὶ τότε λέγεται *τομὴ πενθημιμερής* (ἢ *ἄρσην τομή*), ὡς

μῆνιν ἄειδε, θεά, || Πηληϊάδεω Ἀχιλῆος (Ἰλ. Α, 1)

ἢ μετὰ τὴν πρώτην βραχεῖαν τῆς ἄρσεως τοῦ τρίτου ποδός, καὶ τότε λέγεται *τομὴ κατὰ τρίτον τροχαῖον* (ἢ *θήλεια τομή*), ἥτις εἶναι καὶ ἡ συνηθεστέρα καὶ *κυρία τομὴ* τοῦ ἑξαμέτρου[1]), ὡς ἐν Ὀδυσ. Α, 1:

ἄνδρα μοι ἔννεπε, μοῦσα, || πολύτροπον, ὃς μάλα πολλά.

ΣΗΜ. Ἡ ἐν τῷ τέλει τοῦ τρίτου ποδὸς διαίρεσις εἶναι ἐπίμεμπτος, δύ-

---

(1) Ὡς κυρία τομὴ τοῦ ἑξαμέτρου τέως ἐνομίζετο ἡ πενθημιμερής, ἀλλ' ἤδη ὑπὸ τοῦ Arthur Ludwig (Aristarchs Homerisch. Textkrit. Τόμ. Β, σελ. 326, § 38, ὑποσημ. 274) ἀπεδείχθη ὅτι ἐν τοῖς Ὁμηρικοῖς ποιήμασι πολλῷ συνηθεστέρα τομὴ εἶναι ἡ κατὰ τρίτον τροχαῖον· διότι ἐξ 611 στίχων τοῦ Α τῆς Ἰλιάδος εἶναι 358 μὲν κατὰ τρίτον τροχαῖον τομαί, 247 δὲ πενθημιμερεῖς καὶ 6 ἑφθημιμερεῖς. Ἐκ δὲ 804 στίχων τοῦ Ω τῆς Ἰλιάδος 441 μὲν τομαὶ εἶναι κατὰ τρίτον τροχαῖον, 355 δὲ πενθημιμερεῖς καὶ 8 ἑφθημιμερεῖς. Ἐκ δὲ 444 στίχων τοῦ Α τῆς Ὀδυσσείας 268 μὲν τομαὶ εἶναι κατὰ τρίτον τροχαῖον καὶ 176 πενθημιμερεῖς. Ὥστε μεταξὺ 1859 στίχων Ὁμηρικῶν εἶναι 1067 μὲν τομαὶ κατὰ τρίτον τροχαῖον, 778 δὲ πενθημιμερεῖς καὶ 14 ἑφθημιμερεῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νται δὲ αὕτη νὰ ὑπάρχῃ μόνον, ὅταν μετ' αὐτῆς ὑπάρχῃ ἡ π ε ν θ η μ ι μ ε ρ ὴ ς καὶ ἡ κ α τ ὰ τ ρ ί τ ο ν τ ρ ο χ α ῖ ο ν τομή, ὡς

ἐννῆμαρ μὲν ἀνὰ || στρατὸν| ὤχετο κῆλα θεοῖο (Ἰλ. Α, 53).
δῶκέν οἱ πέλεκυν || μέγαν| ἄρμενον ἐν παλάμῃσιν (Ὀδ. Ε, 234).
ὀφθαλμοὶ δ' ὥσεὶ || κέρα| ἔστασαν ἠέ σίδηρος (Ὀδ. Τ, 211).

§ 25. Εἰς τὴν τομὴν τοῦ τρίτου ποδὸς, ἔνθα συμβαίνει ἡ κυρία τομὴ τοῦ ἑξαμέτρου, προστίθεται καὶ ἡ τομὴ τοῦ τετάρτου ποδός, ἥτις συμβαίνει μετὰ τὴν θέσιν αὐτοῦ καὶ καλεῖται *τομὴ ἑφθημιμερὴς*, ὡς Ἰλ. Α, 218:

ὃς κε θεοῖσ' ἐπιπειθηται, || μάλα τ' ἔκλυον αὐτοῦ.

Συμβαίνει δὲ καὶ *διαίρεσις* ἐν τῷ τέλει τοῦ τετάρτου ποδός, ἥτις καλεῖται *βουκολική*, ὡς Ἰλ. Α, 348:

ἡ δ' ἀΓέκουσ' ἅμα τοῖσι γυνὴ κίεν. || αὐτὰρ Ἀχιλλεύς.

ΣΗΜ. Ἐν τῇ βουκολικῇ διαιρέσει ὁ τέταρτος ποὺς ὀφείλει νὰ εἶναι δ ά κ τ υ λ ο ς, σπανίως δὲ οὗτος εἶναι καὶ σ π ο ν δ ε ῖ ο ς, ὅπερ ὅμως νομίζεται ἁμάρτημα προελθὸν ἐκ γραφικοῦ σφάλματος κατὰ τὴν γνώμην πολλῶν φιλολόγων.

§ 26. Ἡ τομὴ ἡ ἐν τῷ τετάρτῳ ποδὶ γινομένη συχνάκις παραμελεῖται, σπανίως ὅμως παραλείπεται ἡ ἐν τῷ τρίτῳ ποδὶ συμβαίνουσα, ὅπερ γίνεται μόνον, ὅταν εἶναι μακρὸν κύριον ὄνομα, ὡς Ἴσανδρόν τε καὶ Ἱππόλοχον || καὶ Λαοδάμειαν (Ἰλ. Ζ, 197). Ὅρα καὶ Ἰλ. Ε, 207. Λ, 249 Ν, 351. Ἡ ὅταν ὑπάρχῃ σύνθετος λέξις, ὡς Ἰλ. Α, 466. Β, 429:

ὤπτησάν τε περιφραδέως, || ἐρύσαντό τε πάντα.
δῶκεν ἰμάντας εὐτμήτους || βοὸς ἀγραύλοιο (Ἰλ. Ψ, 684).

Ἡ ωνήεντα

§ 27. Τὸ βραχὺ Α τῆς Ἀττικῆς διαλέκτου καὶ παρ' Ὁμήρῳ μένει βραχὺ Α. Ἐξαιρεῖται τὸ *κτίση* (=Ἀττικ. *κτῖσα*), *Σκύλλη* (=Σκύλλᾰ) καὶ τὰ εἰς *-εία* καὶ *-οία* λήγοντα, ὡς *ἀληθείη* (=Ἀττικ. *ἀλήθεια*), *εὐπλοίη* (=Ἀττικ. *εὔπλοια*) § 204.

§ 28. Τὸ ἐξ ἀναπληρωτικῆς ἐκτάσεως προελθὸν μακρὸν Α καὶ παρ' Ὁμήρῳ εἶναι μακρόν, ὡς *μούσᾱς* (ἐκ τοῦ μούσᾰ-ν-ς), *μέλᾱς* (ἐκ τοῦ μέλᾰν-ς), *τάλᾱς* (=τάλᾰν-ς), *γίγᾱς* (=γίγᾰντ-ς), *πᾶς* (=πάντ-ς), *πεπαιδεύκᾱσι* (=πεπαιδεύκᾰντι), κτλ.

§ 29. Ἐν πάσῃ ἄλλῃ περιπτώσει ἀντὶ τοῦ μακροῦ Α τῆς Ἀττικῆς διαλέκτου ὑπάρχει παρ' Ὁμήρῳ Η. Τοῦτο δὲ συμβαίνει ἐν τοῖς ἑξῆς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1) Ἐν τοῖς πρωτοκλίτοις, ὡς *σοφίη* (=Ἀττικ. *σοφίᾱ*), *ἡμέρη*, *χώρη*, *θύρη*, *λύρη*, *αὔρη*, *καρδίη*, *σκοπιή*, *βίη* (=*ἡμέρᾱ*, *χώρᾱ*, *θύρᾱ*, *λύρᾱ*, *αὔρᾱ*, *καρδιᾱ*, *σκοπιᾱ'*, *βιᾱ*), *γενεή*, *Τεγέη*, *πτελέη* (=*γενεᾱ'*, *Τεγέᾱ*, *πτελέᾱ*), *μητρυιή*, *ποίη* (=*μητρυιᾱ'*, *πόᾱ*), κτλ. *νεανίης* (=Ἀττ. *νεᾱνίᾱς*), κτλ.

ΣΗΜ. Ἐξαιρεῖται τὸ *Λ ι ν ε ί ᾱ ς*, *Λ ὐ γ ε ί ᾱ ς*, *Ἑ ρ μ ε ί ᾱ ς* καὶ τὰ θηλυκὰ *Ν α υ σ ι κ ᾰ́ ᾱ*, *Ῥ έ ᾱ* καὶ τὸ *θ ε ᾶ'* (ἀλλ' ὅμως *Λ ρ ι θ έ - η*, *Ε ἰ δ ο - θ έ η*, *Λ ε υ κ ο - θ έ η*) καὶ ἡ γενικὴ *θ ε ᾶ ς* καὶ *Φ ε ι ᾶ ς*.

2) ἐν ταῖς πλαγίαις πτώσεσι (τοῦ *ἀὴρ*) *ἠέρος*, *ἠέρι*, *ἠέρα*, ἀλλὰ κατ' ὀνομαστικὴν διὰ τοῦ *α*, *ἡ ἀὴρ* (θηλυκ.).

3) ἐν τοῖς οὐσιαστικοῖς *ἔρηξ* (=*ἱέρᾱξ*), *θώρηξ* (=*θώρᾱξ*), *κρητὴρ* (=*κρᾱτήρ*), *γεηγόνης* (=*νεᾱνίᾱς*), *νηὸς* (=*νᾱός*).

4) ἐν τοῖς ἐπιθέτοις *τρηχὺς* (=*τρᾱχύς*) καὶ *τρηκόντα* (=*τριᾰ'κοντα*), *δηκόσιοι* (=*διᾱκόσιοι*), *τρηκόσιοι* (=*τριᾰκόσιοι*).

5) ἐν τοῖς ῥήμασι *πρήσσω* (=*πρᾱ'σσω*, *πρᾱ'ττω*), *περήσω* (=*περᾱ'σω*), *ἐπέρησα* (=*ἐπέρᾱσα*), *ἀνήσω* (=*ἀνᾱ'σω*), *ἰήσομαι* (=*ἰᾰ'σομαι*), *ἐμίηνα* (=*ἐμίᾱνα*), *ἐΰφρηνα* (=*ηὔρρᾱνα*), κτλ. καὶ ἐν τοῖς ἐξ αὐτῶν παραγώγοις *πρῆξις* (=*πρᾶξις*), *ἀνηρὸς* (=*ἀνιᾰρός*), *ἰητρὸς* (=*ἰᾱτρός*), κτλ.

6) ἐν τοῖς ἐπιρρήμασι *λάθρη* (=Ἀττικ. *λάθρᾳ*), *λίην* (=*λίᾱν*), *πέρην* (=*πέρᾱν*).

§ 30. Παρ' Ὁμήρῳ ἀντὶ τοῦ *ο* γίνεται χρῆσις ἐνίοτε τοῦ *υ* κατ' ἰδίωμα τῶν Αἰολέων. Τοῦτο δὲ συμβαίνει ἐν τοῖς ἑξῆς.

1) ἐν τοῖς ἐκ τοῦ *ὄνομα* συνθέτοις, ὅπερ συμβαίνει καὶ παρ' Ἀττικοῖς, ὡς *ἐπώνυμος*, *ἀνώνυμος*, *δυσώνυμος*.

2) ἐν τῷ ἐπιρρήματι *ἐπισμυγερῶς* (=*ἐπιπόνως*· «*σμογερόν*· *σκληρόν*, *ἐπίβουλον*, *μογθηρόν*». Μεγ. Ἐτυμ.).

3) ἐν τῷ *Σί-συφος* καὶ *ἀ-σύ'φ-ηλος* (=ἀπαίδευτος, ἀμαθής, κακός, λατ. insipiens) ἐκ τοῦ *σοφός*.

4) ἐν τῷ *Ἐφ-ύρη* ἐκ τοῦ *ἐφ-όρη* (ὁράω) ὡς σκοπιά, περιωπή.

5) ἐν τῷ *ἄλλυδις* (=ἄλλοσε, πρβλ. καὶ *ἄμυδις*).

6) ἐν τῷ *ἐπ-ασύτεροι* (*ἀσσοτέρω*)=ἀλλεπάλληλοι.

7) ἐν τῷ *αἰσυ-μνήτης* (ἀντὶ τοῦ *αἰσο-μνήτης* = ὁ μνώμενος τῆς αἴσης, τοῦ δικαίου, ἀγωνοδίκης).

8) ἐν τῷ *ἄγυρις* (ἀγορά), *ὁμήγυρις*, *ὁμηγυρίζομαι*, (ἀγύρτης) *ἀγυρτάζω*.

ΣΗΜ. Οὕτω κατά τινας γίνεται καὶ τὸ *π ύ μ α τ ο ς* (=τελευταῖος, ἔσχατος) ἐκ ῥίζης pos-mo, λατ. pos-, post (ὕστερον, μετά), postumus

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(=ὕστατος, τελευταῖος) καὶ τὸ ὑπόβρυχα (Ὀδ. Ε, 319+ ὡς αἰτιατ. κατὰ μεταπλασμὸν τοῦ ὑπόβρυχος (=ὑπόβροχος), ὑποβρύχιος.

Δίφθογγοι

§ 31. Αἱ δίφθογγοι παρ' Ὁμήρῳ προφέρονται διαλελυμέναι πολλάκις, ἔνθα παρ' Ἀττικοῖς προφέρονται κατὰ συναλοιφήν, ὡς Ἀτρείδαι (=Ἀτρεῖδαι), οἵστός (=οἰστός), εὖ (=εὐ), οἷς (=οἰς =lat. ovis), πάϊς (=Ἀττικ. παῖς), κλητίς (=κλῃτίς), λητίζομαι, (=λῃτίζομαι), λητῆρ (=λῃστής), οἴομαι (=οἶομαι), κτλ.

ΣΗΜ. Ἐνίοτε καὶ ποικίλλουσιν, ὡς ῥαΐω, ῥαιστήρ, ἀλλὰ θυμορραῖστής (1), ὀτρύω καὶ ὀτρῠ́νω κτλ.

§ 32. Δίφθογγος ἡ μακρὸν φωνῆεν, μετὰ τὰ ὁποῖα ἀκολουθεῖ φωνῆέν τι, ἐν τῇ ἄρσει βραχύνονται, ὡς τὸ δήϊον (Ἰλ. Β, 415. 544. κτλ.), εἶος (Ἰλ. Ν, 275. Σ, 105. Ὀδ. Η, 342. Υ, 89). νεός, (Ἰλ. Α, 189. Δ, 473. Ε, 612. Ζ, 130. Η, 47. Ι, 84. Μ, 331. Ν. 690. Ο, 244. Π, 21. Ρ, 590. Τ, 216. Ὀδ. Δ, 630. Λ, 270. 478), ἔμπαῖον (Ὀδ. Υ, 379), χαμαιεύναι (Ἰλ. Η, 235), χαμαιευνάδες (Ὀδ. Κ, 243. Ξ, 15), ἔπλεῦ ἄρατος (Ἰλ. Ι, 54. πρβλ. καὶ Η, 29. Ψ, 69. 891), μέλλεϊ (Ἰλ. Β, 146). Ὅρα Ὀδυσ. Α, 1—2:

ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
πλάγχθή, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

Καὶ «οὐ ἐπεί' οὐ κύντερον ἄλλο» (Ἰλ. Θ, 483 πρβλ. καὶ Ἰλ. Ι, 418. 425), κτλ.

§ 33. Ἐν τῇ Ἰωνικῇ διαλέκτῳ ὑπάρχει καὶ ἡ δίφθογγος ωϵ, ἥτις εἶναι ἄγνωστος τῇ Ἀττικῇ διαλέκτῳ, ὡς ωὐτὸς (Ἰλ. Ε, 396+)=ὁ αὐτός.

Μακρὰ καὶ βραχεῖα συλλαβή.

§ 34. Ἡ συλλαβὴ λέγεται *θέσει μακρά*, ὅταν μετὰ τὸ βραχὺ φωνῆεν ἕπωνται δύο ἢ τρία σύμφωνα ἢ διπλοῦν ζ, ξ, ψ, ὡς

Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς (Ἰλ. Ξ, 434).

§ 35. Ἡ *θέσει μακρὰ συλλαβὴ* γίνεται κατὰ τρεῖς τρόπους.

---

(1) Ἀλλ' ἴσως ὀρθότερον εἶναι νὰ γραφῇ θυμορραίστης κατὰ τὸν γραμματικὸν Γλαῦκον, ᾧ ἠκολούθησεν ὁ Bekker καὶ ὁ Nauck.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1) Τὰ σύμφωνα ἀνήκουσιν εἰς τὴν αὐτὴν λέξιν, ὡς ἡ θέσει μακρὰ συλλαβὴ τοῦ *δυσήεντος* καὶ *Ξάνθου*.

2) Τὸ βραχὺ φωνῆεν ὑπάρχει ἐν τῇ λῆξει μεθ' ἑνὸς συμφώνου, ἐν ᾧ ἡ ἑπομένη συλλαβὴ ἄρχεται ἀπὸ ἑνὸς συμφώνου, ὡς *ἀθάνατος τέκετο*.

3) Τὸ βραχὺ φωνῆεν εἶναι τελικὸν τῆς προηγουμένης λέξεως, ἕπεται δ' ἄλλη λέξις ἀρχομένη ἀπὸ δύο συμφώνων ἢ διπλοῦ καὶ ἀπὸ τριῶν, ὡς *τέκετο Ζεύς*.

ΣΗΜ. Ὁ ὅρος θέσει μακρὰ συλλαβὴ δὲν σημαίνει τὴν ἕνεκα τῆς θέσεως μακράν, ἀλλὰ τὴν κατὰ συνθήκην μακράν.

§ 36 Ἄφωνον πρὸ ὑγροῦ ἐν μὲν τῇ Ἀττικῇ διαλέκτῳ συνήθως δὲν ποιεῖ τὸ προηγούμενον βραχὺ φωνῆεν *μακρόν*, ἐν δὲ τῇ Ἰωνικῇ διαλέκτῳ ἀποτελεῖ *κοινὴν συλλαβήν*, λαμβανομένην καὶ ὡς μακρὰν καὶ ὡς βραχεῖαν. Παρ' Ὁμήρῳ εἶναι αὕτη μακρὰ μὲν ἐν τῇ θέσει, βραχεῖα δὲ ἐν τῇ ἄρσει. Τοῦτο δὲ γίνεται μόνον, ὅταν τὰ ὑγρὰ εἶναι τὸ *λ* ἢ τὸ *ρ*, καὶ εἶναι συνηθέστερον ἐν τῇ Ὀδυσσείᾳ ἢ ἐν τῇ Ἰλιάδι, ὡς

οἷον δ' ἀστέρα ἦκε Κρόνου πάϊς ἀγκυλόμητις (Ἰλ. Δ, 75).
Ὥρα καὶ Ἰλ. Ο, 91. Β, 537.

εὗρε δ' ἐν τ' προδόμῳ ἠμὲν δέπα ἠδὲ τραπέζας (Ὀδ. Ο, 466).

ΣΗΜ. Τὸ φωνῆεν λαμβάνεται ὡς μακρόν, ὅταν τὸ ἄφωνον εἶναι ἐν τῇ προηγουμένῃ συλλαβῇ, τὸ δὲ ὑγρὸν ἐν τῇ ἑπομένῃ, ὡς ἔκ Λυκίης (Ἰλ. Ε, 645), ἔκ Λήμνοιο (Ἰλ. Η, 467), Ἔκ ῥ' ἀσαμίνθου (Ὀδ. Γ, 468. Θ. 456. κτλ.), ἔκ ῥακέων (Ὀδ. Σ, 74), κτλ. ἢ ἐν συνθέσει, ὡς ἐκ λύσομαι (Ὀδ. Κ, 286).

§ 37. Τὰ μέσα β, γ, δ, μεθ' ἑπομένου λ, μ ἢ ν ποιοῦσι παρ' Ὁμήρῳ, ὡς καὶ ἐν τῇ Ἀττικῇ διαλέκτῳ, τὴν προηγουμένην συλλαβὴν πάντοτε μακράν.

ΣΗΜ. 1. Οἱ κωμικοὶ ποιηταὶ οὐδέποτε μεταχειρίζονται ὡς μακρὰν βραχεῖαν συλλαβήν, μεθ' ἣν ἕπεται ἄφωνον πρὸ ὑγροῦ.

ΣΗΜ. 2. Ἐν τοῖς παραθετικοῖς ὑπὸ τῶν Ἀττικῶν τηρεῖται ἡ κατὰ τοὺς Ἴωνας προσῳδία, ὡς μικρός, μικρότερος, μικρότατος.

§ 38. Λέξις ἀπὸ ὑγροῦ ἢ F ἀρχομένη ποιεῖ τὸ προηγούμενον φωνῆεν ἐν τῇ θέσει κείμενον μακρόν. Τοῦτο δὲ συμβαίνει 1) πρὸ τοῦ λ ἐν ταῖς λέξεσι *λαπάρη, λείβω, λέκτρον, λήγω, λητώ, λιαρός, λιγυρός, λιγύς, λίθος, λίπα, λιπαρός, λίς, λίσσεσθαι, λιταί, λιτανεύειν, λόφος, λωτός*, ὡς Ἰλ. Λ, 239:

εἶλκ' ἐπὶ Γοὶ μεμαῶς ὥς τε λὶς, ἐκ δ' ἄρα χειρός.

2) πρὸ τοῦ μ ἐν ταῖς λέξεσι *μαζός, μάλα, μαλακός, μάστιξ, μεγαλίζομαι μέγαρον, μέγας, μέγεθος, μεθέμεν, μείζων, μείων, με-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λίη, μελιηδής, μέλος, μή, μήτηρ, μιαρός, μιν(θει, μοῖρα, μόθος, μυρίκη, ὡς Ὀδυσ. Α, 56:

αἰεὶ δ᾽ μαλακοῖσι καὶ αἰμυλίοισι Fέπεσσι.

3) πρὸ τοῦ ν ἐν ταῖς λέξεσι μάλιστα *νευρή, νεύω, νεφέλη, νέφος, νημερτής, νῆσος, νηῦς, νητός, νίζω, νιφάς, νιφόεις, νότιος, νότος, νύμφη, νύσσα, νύσσω*, ὡς Ἰλ. Δ, 118:

αἶψα δ᾽ ἐπ᾽ι νευρῇ κατεκόσμεε πικρὸν ὀιστόν.

διότι ἦτο *σνευρή*. Τοιαῦτα εἶναι καὶ τὸ *ἀπ᾽ο νύσσης* (Ἰλ. Ψ, 758. Ὀδ. Θ, 121), *ὀνᾶ νημερτὲς* (Ὀδ. Γ, 327), *δ᾽ε νότιος* (Ἰλ. Λ, 811. Ψ, 715), *ἐπ᾽ι νότος* (Ὀδ. Μ, 427), *δ᾽ε νέφος* (Ἰλ. Δ, 274. Ψ, 133. 366. Ὀδ. Υ, 114 κτλ.), *δ᾽ε νεφέλη* (Ἰλ. Ξ, 350. κτλ.).

4) πρὸ τοῦ ρ ἐν ταῖς λέξεσι *μάλιστα ῥάβδος, ῥάκος, ῥέζω, ῥηγμίν, ῥήγνυμι, ῥῆγος, ῥηκτός, ῥηξήνωρ, ῥίζα, ῥινός, ῥίον, ῥιπή, ῥίς, ῥόος, ῥόπαλον, ῥοχθέω, ῥύομαι, ῥυπόω, ῥυσός, ῥυστάζω, ῥυτήρ, ῥώξ, ῥωπήϊον*, ὡς Ὀδυσ. Ζ, 178:

Fάσσυ δέ μοι δεῖξον, δὸς δ᾽ε ῥάκος ἀμφιβαλέσθαι.

Οὕτω καὶ τὸ *ἐπ᾽ι ῥηγμῖνι* (Ἰλ. Α, 437), *τε ῥῆγος* (Ἰλ. Ι, 661), *παρᾶ᾽ ῥόον* (Ἰλ. Π, 151), *ἀνᾶ᾽ ῥῶγας* (Ὀδ. Χ, 143), κτλ.

5) πρὸ τοῦ F, ὡς Ἰλ. Ρ, 196:

πατρὶ φίλῳ ἔπορον· ὃ δ᾽ ἄρᾶ Fῷ παιδὶ ὄπασσε.

ὅρα καὶ Ἰλ. Ζ, 62: *ἀπὸ Fέθεν* (= ἀπὸ σFέθεν). Πρβλ. Ἰλ. Ε, 343. 371. Β, 832. Ξ, 92. Φ, 507. Χ, 307.

ΣΗΜ. Ἀντὶ τοῦ ο ὔ κ ε μ ά λ ᾶ ῥ έ ⌣ α (Ἰλ. Υ, 101) γραπτέον "ο ὔ κ έ μ ε ῥ ε ῖ α ,,. Πρὸ δὲ τῶν ἀπὸ λ, μ, ν, ρ καὶ F ἀρχομένων τούτων λέξεων ὑπῆρχε συριστικόν τι γράμμα (σ, F) ἢ γ (ὡς νέφος = γνέφος) ἀποβληθέν.

§ 39. Ἐν τῇ ἄρσει οὐδέποτε ὑπάρχει ἡ τοιαύτη ἔκτασις τοῦ φωνήεντος. Ὡσαύτως δὲ δὲν γίνεται καὶ πρὸ τοῦ ρ ἐν τῇ ἄρσει, ὡς Ὀδ. Α, 47:

ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ τις τοιαῦτά γε ῥέζοι.

Ὅρα καὶ Ἰλ. Ε, 403.

Πλάζων· οὐδε τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες (Ἰλ. Ρ, 751).

Ἐξαιρεῖται μόνον τὸ (Ἰλ. Ε, 358. Φ, 368. Χ, 91):

πολλ᾽ᾶ λισσομένη χρυσάμπυκας ἤτεεν ἵππους.

καὶ τὸ Ἰλ. Ω, 755:

πολλ᾽ᾶ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμα ἑτάροιο.

καὶ τὸ (Ὀδ. Ν, 438 Ρ, 198 Σ, 109):

Πυκν᾽ᾶ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 40. Ἐν τῇ αὐξήσει καὶ ἐν τῇ συνθέσει τὸ λ, μ, ν καὶ F διπλασιάζονται συνήθως, ἐνίοτε δὲ καὶ τὸ σ.

Αἱ συλλαβαὶ αἱ λαμβάνουσαι διὰ τῆς διπλασιάσεως τοῦ συμφώνου τὴν τοιαύτην ἔκτασιν εὑρίσκονται πάντοτε ἐν τῇ θέσει πλὴν τοῦ *ἐλλίσσετο*. Ἔχουσι δὲ ὧδε.

ἔλλαβε (=ἔγλαβε. Ἰλ. Γ, 34. κτλ.), ἀλλὰ καὶ *ἔλαβε* (Ἰλ. Δ, 463. κτλ.).

ἐλλίσσετο (=ἐγλίσσετο. Ἰλ. Ζ, 45.Φ, 71. Ὀδ. Κ, 264. (1).), ἀλλὰ καὶ *ἐλίσσετο* (Ἰλ. Λ, 15, 374.), *ἐλλισάμην* (Ὀδ. Λ, 35. Ν, 273).

ἐλλιτάνευε (=ἐγλιτάνευε. Ἰλ. Χ, 414 +), *ἐλλιτάνευσα* (Ὀδ. Κ, 181 +).

πολύλλιστος (Ὀδ. Ε, 445 +), *τρίλλιστος* (Ἰλ. Θ, 488 +) (ἀντὶ τοῦ τρι-γλιστος, πρβλ. γλίσχρος, γλίχρομαι).

ἀπολλῆξαι (=ἀπο-σλῆξαι. Ἰλ. Ο, 31. κτλ.) καὶ *ἀπολήγειν* (Ἰλ. Ν, 230. κτλ).

μεταλλήξας (= μετα-σλήξας. Ἰλ. Ι, 157. 299. κτλ.).

ἄλληκτος (=ἄ-σληκτος. Ἰλ. Ι, 636. κτλ.).

ἐπιλίγδην (Ἰλ. Ρ, 599+), ὅπερ ὑπ' ἄλλων γράφεται δι' ἑνὸς λ, *ἐπιλίγδην*.

ἄλλοφος (=ἄ-γλοφος, πρβλ. λατ. glōbus. Ἰλ. Κ, 258 +), *καταλλοφάδεια* (Ὀδ. Κ, 169 +) ἢ *κατᾱλοφάδεια*. Μοναδικὸν εἶναι τὸ Ἀμφιλλὶς καὶ Ἀμφιλής.

ἔμμαθεν (=ἔσμαθεν. Ὀδ. Ρ, 226 +), *ἔμμαθες* (Ὀδ. Σ. 362 +).

ἔμμορε (Ἰλ. Α, 278. κτλ. =ἔ-σμορε).

ἄμμορος (Ἰλ. Ζ, 408. κτλ. =ἄ-σμορος).

ἀμμορίη (Ὀδ. Υ, 76 + = ἀ-σμορίη).

διεμμοιρᾶτο (= διεσμοιρᾶτο. Ὀδ. Ξ, 434 +).

φιλομμειδὴς (Ἰλ. Γ, 424. κτλ. = φιλο-σμειδής).

εὐμμελίης (Ἰλ. Ρ, 9. κτλ. = εὐ-σμελίης).

καταννεύων (Ὀδ. Ι, 490 = κατα-σνεύων), ὅπερ ὑπ' ἄλλων γράφεται *κατᾱνεύων*.

---

(1) Τὸ ἐν Ἰλιάδ. Μ, 49 γραπτέον κατὰ Cobet ὧδε.

ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐΓελίσσεθ' ἑταίρους.

κατὰ δὲ Nauck ὧδε·

ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν εἰλίσσεθ' ἑταίρων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀντέφελος (Ὀδ. Ζ, 45 + = ἀ-γνέφελος), ὅπερ ὑπ' ἄλλων γράφεται *ἄνέφελος*.

ἀπεντίζοντο (=ἀπεντιζόντο Ἰλ. Κ, 572 +), ὑπ' ἄλλων δὲ *ἀπεντίζοντο* γράφεται.

ἀγάννιφος (Ἰλ. Λ, 420 + = ἀγά-σνιφος).

ἐΰννητος (Ἰλ. Σ, 596. Ω, 580 κτλ.).

ἔννεον (Ἰλ. Φ, 11 Ὀδ. Ε, 344 = ἔ-σνεον).

ἐFFαδε (Ἰλ. Ξ, 340 κτλ.).

ἐFFείδης (Ἰλ. Χ, 280 +), *ἐFFείδει* (Ὀδ. Ι, 206 +).

ἐFFιδε (εἰσιδε. Ἰλ. Ξ, 13. κτλ.), *ἐFFιδ'* (εἶδεν. Ἰλ. Λ, 112+).

ἀποFFειπὼν (Ἰλ. Τ, 33 καὶ 75).

ἀποFFέρσῃ (Ἰλ. Φ, 283 +), *ἀποFFέρσειε* (Ἰλ. Φ, 329+).

ἀFFάFαροι (Ἰλ. Ν, 41 + = αὐάγροι = ἀθρόως βοῶντες).

ἐFFισκε (Ὀδ. Δ, 247+) καὶ *ἐFFίσκομεν* (Ἰλ. Φ, 332 +) πρέπει νὰ γραφῶσι· διότι ἐνταῦθα ἡ αὔξησις ὑπάρχει ἐν τῇ ἄρσει. Ἄλλοι ἀναγινώσκουσιν *ἐFεFισκε* (ὁμοίως καὶ ἐν Ἰλ. Ψ, 94.) καὶ *ἐFεFίσκομεν*.

περισσαίνω (Ὀδ. Κ, 215. κτλ. = περισFαίνω).

ἐσσείοντο (Ἰλ. Υ, 59 + = ἐσFείοντο), *ἐπισσείω* (Ὀδ. Δ, 167. Ο, 230), *περισσείω* (Ἰλ. Τ, 382 +), *ὑποσσείω* (Ὀδ. Ι, 385 +).

ἐσσεύοντο (Ἰλ. Β, 808. κτλ.), ἀόρ. *ἔσσευα* (Ἰλ. Ε, 208 κτλ.), παραλ. *ἔσσυμαι* (Ὀδ. Κ, 484. κτλ.), *ἐπισσεύω* (Ἰλ. Ο, 347. Ὀδ. Ξ, 399), *λαοσσόος* (Ἰλ. Ν, 128. κτλ.).

ἐπίσσωτρον (Ἰλ. Ε, 725. κτλ.).

ἐΰσσελμος (Ἰλ. Β, 170. κτλ.).

Τὸ σσ προῆλθεν ἐν ταῖς περιστάσεσι ταύταις ἐξ ἁρμαιώσεως τοῦ σF. Καὶ αἱ ἄλλαι διπλασιάσεις κατὰ μέγα μέρος εἰς ὅμοιον τρόπον ὀφείλουσι τὸν σχηματισμὸν αὐτῶν (γλ=λλ, σμ=μμ, γν ἢ σν=νν).

§ 41. Ἀντιστρόφως τὸ ρ παρ' Ὁμήρῳ δὲν διπλασιάζεται ἐν τῇ ἄρσει. Τοιαῦτα δ' εἶναι ταδε.

ἀμφίρυτος (Ὀδ. Ἀ, 50 κτλ.).

ἀραρυῖβδεῖ (Ὀδ. Μ, 105 +) καὶ *ἀναρραιβδεῖ* (Ὀδ. Μ, 104 +), *ἀνερρόιβδησε* (Ὀδ. Μ, 236 +).

ἐράπτομεν (Ὀδ. Π, 379 +).

ἔρεζον, *ἔρεζα* (Ἰλ. Β, 400. Ι, 453. Φ, 540. κτλ.) καὶ *ἔρ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρεῖε (Ἰλ. Ι, 540., ἔνθα κακῶς γράφεται *ἔρδεσκεν*) καὶ *ἔρρεξα* (Ἰλ. Ι. 536).

ἄρεκτος (Ἰλ. Τ, 150 +).

ἐρύετο, ἔρῦτο, ἐρύσατο (Ἰλ. Ζ, 403. Δ, 138. Λ, 363 κτλ.) καὶ *ἐρρύσατο* (Ὀδ. Α, 6).

προρέω (Ἰλ. Ε, 598 κτλ.).

ὠκυρόῳ (Ἰλ. Ε, 598 +).

§ 42. Βραχεῖα λήγουσα θεωρεῖται ὡς θέσει μακρά, ὅταν ὑπάρχῃ ἐν τῇ θέσει πρὸ τομῆς ἢ πρὸ στιξέως, ὡς

ἐκ γὰρ Ὀρέστᾱο || τίσις ἔσσεται Ἀτρείδαο (Ὀδ. Α, 40).

πῶς ἦλθες, Ὀδυσσεῦ ; τίς τοι κακὸς ἔχρασε δαίμων ; (Ὀδ. Κ, 64).

§ 43. Ἐν τισι λέξεσι τὰ δίχρονα α, ι, υ ἐν μὲν τῇ θέσει εἶναι *μακρά*, ἐν δὲ τῇ ἄρσει *βραχέα*. Οὕτω τὸ α ἐν τῇ λέξει Ἀπόλλων εἶναι καὶ μακρὸν (Ἰλ. Α, 14. 21. 36. 86. κτλ.) καὶ βραχὺ (Ἰλ. Α, 43. 75. κτλ.). Ἐπίσης καὶ τὸ Ἄρης ἔχει τὸ α καὶ μακρὸν καὶ βραχύ, ὡς

Ἄρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα (Ἰλ. Ε, 31. 455).

ΣΗΜ. Οὕτω καὶ τὰ βραχὺ ι ἔχοντα π ό λ ῐ ν, μ ᾱ τ ῐ ν, π ρ ᾱ ξ ῐ ν, ὄ ῐ ν, θ ο ῦ ρ ῐ ν, χ ά ρ ῐ ν, π ά ῐ ς, ἐν τῇ θέσει κείμενα ἔχουσι τὸ ι μακρόν, ὡς π ό λ ῑ ν, (Ἰλ. Α, 19. Β, 677. Ε, 642. Θ, 52. 522 κτλ), μ ᾱ τ ῑ ν (Ἰλ. Β, 169. 407. 636. Η, 47. Κ, 137. Λ, 200), π ρ ᾱ ξ ῑ ν (Ὀδ. Γ, 72. Ι, 253), ὄ ῑ ν (Ὀδ. Κ. 524. 572. Ἰλ. Κ, 215. Ὀδ. Α, 32), θ ο ῦ ρ ῑ ν (Ἰλ. Η, 164. Θ, 262. Σ, 157), χ ά ρ ῑ ν (Ἰλ. Δ, 95. Ε, 874. Λ, 243. Ψ, 650. Ὀδ. Ζ, 235. Β, 12. Θ, 19. Ρ, 63. Ψ, 162), π ά ῑ ς (Ἰλ. Β, 609. Γ, 314. Ε, 704. Ζ, 119. 467. Η, 13. Θ, 333. 377. Ν, 422. 698. κτλ.), κτλ. Ὅρα καὶ § 251.

§ 44. Βραχεῖαι ἔτι συλλαβαὶ λαμβάνονται ἐνίοτε ὡς μακραὶ κατὰ ποιητικὴν ἄδειαν εἰς τὰς ἑξῆς τρεῖς περιστάσεις.

1) Ἐκ πέντε ἀλλεπαλλήλων βραχειῶν συλλαβῶν ἡ ἐν μέσῳ τὴν θέσιν κατέχουσα λαμβάνεται ὡς μακρά, ὡς

τόξ' ὤμοισιν ἔχων ἀμφηρεφέά τε φαρέτρην (Ἰλ. Α, 45).

ἐς δ' ὄχεα φλόγεᾱ ποσὶ βήσετο, λάζετο δ' ἔγχος (Ἰλ. Ε, 745).

ὅρα καὶ Ἰλ. Ε, 576. Θ, 556. Ὀδ. Λ, 530. κτλ.

2) Ἐκ τριῶν βραχειῶν συλλαβῶν πρὸ μιᾶς φύσει ἢ θέσει μακρᾶς συλλαβῆς ὑπαρχουσῶν ἡ πρώτη συλλαβὴ τῆς λέξεως λαμβάνεται ὡς μακρά, ὡς *ἀπορέεσθαι* (Ἰλ. Β, 143. κτλ.), *ἐπίτορος* (Ὀδ. Μ, 423 +), *Πριαμίδης* (Ἰλ, Θ, 246. κτλ.), *θυγατέρες* (Ἰλ. Ω, 166. κτλ.). Ἐπίσης καὶ τὸ στερητικὸν α λαμβάνεται μακρὸν εἰς τὸ *ἀθάνατος* (Ἰλ. Α, 530. κτλ.), *ἀκάμα-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τος (Ἰλ. Ε, 4. κτλ.), ἄφασίη (Ἰλ. Ρ, 695. Ὀδ. Δ, 704., ὅπερ κακῶς γράφεται ἀμφασίη κατὰ Cobet Mnemos. 1876 σ. 251).

ΣΗΜ. Τὸ ἐπιθύουσι (Ἰλ. Σ, 175 +) = ἐπ-ῑθύω (καὶ οὐχὶ ἐπι-θύω) = ὁρμῶνται, ἐφορμῶσιν.

3) Βραχεῖα συλλαβὴ μεταξὺ δύο μακρῶν δύναται νὰ λαμβάνηται ὡς μακρά, ὡς ἰθυπτί'ωνα (Ἰλ. Φ, 169). Ὅλως ἰδία εἶναι ἡ μετὰ βραχέος ῑ̆ ὡς μακροῦ λαμβανομένου περίπτωσις ἐν τοῖς εἰς -ῑ̆'η οὐσιαστικοῖς, ὡς

Fῆσ' ὑπεροπλῑ'ησι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ (Ἰλ. Λ, 205).

ΣΗΜ. Τοῦτο συμβαίνει καὶ εἰς δύο λέξεις (ὅρα Ἰλ. Β, 622. Δ, 547. Λ, 697).

§ 45. Συχνότερον ὡς μακρὰ λαμβάνεται βραχεῖα συλλαβὴ ἐν ἀρχῇ τοῦ στίχου, ὡς τὸ ἔπεϊ (Ἰλ. Χ, 379. Ψ, 2. Ὀδ. Δ, 13. Θ, 452. Φ, 25. Ω, 482), διὰ (Ἰλ. Γ, 357. Δ, 135. Η, 251. Λ, 435), φῑ'λε (Ἰλ. Δ, 155. Ε, 359. Φ, 308).

§ 46. Ἐνίοτε ἡ βραχεῖα συλλαβὴ λαμβάνεται ὡς μακρὰ κατὰ φαινομένην ἀνωμαλίαν, διότι ὄντως ἀποτελεῖται θέσει μακρὰ συλλαβή, ὡς

βέλος ἐμπεπυκὲς (Ἰλ. Α, 51) = βέλος σεμπεπυκές,

οἵ τι μάλα δὴν (Ἰλ. Α, 416) = οὔ τι μάλα δFήν,

ἔξφορίη (Ὀδ. Η, 119 +) = ζεπφορίη.

ὄφρα (Ἰλ. Μ. 208 +) = ὄπφιν (ἐκ ῥίζ. ὀπ-, πρβλ. δράκων ἐκ ῥίζ. δερκ-).

ὃς ἄξει (Ἰλ. Ω, 154), ὅπερ γραπτέον ὅς Fʼ ἄξει = ὅς Fὲ ἄξει. Οὕτω γραπτέον καὶ τὸ Ἰλ. Ω, 183.

§ 47. Ἀντιστρόφως ἡ πρὸ τῶν λέξεων Ζέλεια (Ἰλ. Β, 824. Δ, 103. 121), Ζάκυνθος (Ἰλ. Β, 634. Ὀδ. Α, 246. Ι, 24. Η, 123. 250. Τ, 131), Σκᾰ'μανδρος (Ἰλ. Ε, 77. Η, 329. Λ, 499. Υ, 74. Φ, 124. 223. 305. Χ, 148), Σκᾰμάνδριος (Ἰλ. Ζ, 402) καὶ σκέπαρνον (Ὀδ. Ε, 237. Ι, 391,) ἀποτελουμένη θέσει μακρὰ λήγουσα τῆς προηγουμένης λαμβάνεται ὡς βραχεῖα.

§ 48. Ἐν τῷ Αἰγυπτί'η (Ὀδ. Δ, 229), Αἰγυπτί'ας (Ἰλ. Ι, 382), Αἰγυπτί'ῃσι (Ὀδ. Δ, 127), Αἰγυπτί'ους (Ὀδ. Δ, 83. Ξ, 286), Αἰγυπτί'ων (Ὀδ. Ξ, 263. Ρ, 432) ἡ συλλαβὴ γυπτ- λαμβάνεται ὡς βραχεῖα ἢ γίνεται συνίζησις τοῦ ι μετὰ τοῦ ἑπομένου φωνήεντος. Ὁμοίως βραχὺ λαμβάνεται καὶ τὸ ι πρὸ τοῦ στ ἐν τῇ λέξει Ἰστί'αιαν (Ἰλ. Β, 537).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πνεύματα.

§ 49. Παρ' Ὁμήρῳ ὑπάρχουσι λέξεις ψιλούμεναι, αἵτινες παρ' Ἀττικοῖς δασύνονται. Τοιαῦται δὲ εἶναι αἱ ἑπόμεναι.

ἀθρόος (=Ἀττικ. *ἁθρόος*), *Ἄδης* (Ἀττικ. *Ἅδης*), *ἄλμενος* (ἐκ τοῦ *ἅλλομαι* =λατ. salio), ἐξ οὗ καὶ *ἐπ-άλμενος*, *κατεπάλμενος*, *μετάλμενος*, *ἄλσο*, *ἄλτο*, ἐξ οὗ καὶ *ἐπάλτο* (ἐφάλλομαι), *κατάλτο*, *κατέπαλτο* (§ 102), *ἀλωή* (ἀλλ' Ἀττικῶς *ἅλως*, ἀλλ' ὅμως καὶ *ἀλοάω* καὶ Ἀττικῶς *ἁλοάω*, ἐξ οὗ καὶ *καταλοῶ* καὶ *ἀπηλοιμένος σῖτος* καὶ *ἐπαλωστής*), *ἄμαξα* (=Ἀττικ. *ἅμαξα*), *ἀμαξιτός* (=Ἀττικ. *ἁμαξιτός*), *ἀμύθητ* (=Ἀττ. *ἀμύθητ*), *ἄμυδις* (ἐκ τοῦ *ἅμα*, πρβλ. καὶ *ἄλλυδις*), *ἀνώ* (=Ἀττικ. *ἀνώω*), *ἀπτοεπὴς* (κατ' Ἀρίσταρχον). *ἧδος* (ἐκ τοῦ *ἥδομαι*), ἀλλ' ὅμως *ἡδύς*, *ἥδομαι*, *ἠέλιος* (=Ἀττικ. *ἅλιος*), *ἦμαρ* (ἐξ οὗ καὶ *αὐτ-ήμαρ*) καὶ *ἠματίη*, ἀλλ' ὅμως καὶ *ἡμέρη* (=Ἀττικ. *ἡμέρα*). Ὁ Ἀρίσταρχος *ἀνέγνω* καὶ *ἤκιστος* (=*ἥκιστος* Ἰλ. Ψ, 354+), *ἴκ-μενος* (ἐκ τοῦ *ἵκω*, *ἱκνέομαι*), *ἰρηξ* (=Ἀττικ. *ἱέραξ*), *οὖλος* (=Ἀττικ. *ὅλος* =σόλFος, λατ. sollus. § 97).

ΣΗΜ. 1. Τὸ *ἵππος* καὶ μετὰ ψιλῆς ἐφέρετό ποτε, ἐξ οὗ καὶ τὸ *Ἀλκ-ίππη* (Ὀδ. Δ, 124), *Λεύκ-ιππος* (Ὕμν. Ἀπόλλ. 212), *Λευκ-ίππη* (Ὕμν. Δήμητρ. 418), πρβλ. τὸ αἰολ. *ἴκκος* (λατ. equus).

ΣΗΜ. 2. Οἱ Αἰολεῖς ὅλως ἀγνοοῦν τὴν δασεῖαν, ὅθεν καὶ τὰ Ὁμηρικὰ *ὔμμες*, *ὔμμι*, *ὔμμε* κτλ. ὄρα § 356.

Χασμωδία.

§ 50. Ἡ σύγκρουσις ἀλλεπαλλήλων φωνηέντων συμβαίνουσα εἰς μίαν ἢ δύο ἐφεξῆς λέξεις λέγεται *χασμωδία*.

§ 51. Ἡ *χασμωδία* παρ' Ὁμήρῳ ἐπιτρέπεται μόνον εἰς δύο περιστάσεις.

1) εἰς τὴν *τομὴν* καὶ εἰς τὴν *βουκολικὴν διαίρεσιν* ἢ πρὸ στίξεως, ὡς

τῶν Fοι (σ)ἐξ ἐγένοντο || ἐνὶ μεγάροισι γενέθλη (Ἰλ. Ε, 270).
υἱὲ Διοκλέεος, Κρήθωνά τε || Ὀρσίλοχόν τε (Ἰλ. Δ, 542).
πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι (Ὀδ. Ε, 255).
καὶ ῥ' ἦγον προτὶ ἄστυ, || ἀελπτέοντες σάον εἶναι (Ἰλ. Η, 340).

2) μετὰ διῤῥόγγον ἢ μακρὸν φωνῆεν, ἅτινα λαμβάνονται τότε ὡς βραχέα (§ 32), ὡς Ἰλ. Γ, 164.

οὔ τι μοι αἰτίη ἐσσὶ θεοὶ νύ μοι αἴτιοί εἰσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 52. Σπανίως καὶ μόνον ἐν τῇ *θέσει* μένει ἡ δίρθογγος τῆς προηγουμένης λέξεως μακρὰ πρὸ φωνήεντος εὑρισκομένη, ὡς

ἡμετέρῳ ἐνὶ Ϝοίκῳ ἐν Ἄργεϊ, τηλόθι πάτρης (Ἰλ. Α, 30).

Ὁ σύνδεσμος *ἠ (ἠὲ)* οὐδέποτ' εἶναι βραχύς, καὶ ὅταν εἶναι ἐν τῇ ἄρσει, ὡς

ἤ νῦν δηθύνοντ' ἤ ὕστερον αὖτις ἰόντα (Ἰλ. Α, 27).

ἤ Αἴας ἤ Ἰδομενεὺς ἤ δῖος Ὀδυσσεύς (Ἰλ. Α, 145).

ΣΗΜ. Ἀντὶ τοῦ (ἐν Ἰλ. Φ, 576) φερομένου

εἴπερ γὰρ φθάμενός μιν ἤ οὐτάσῃ, ἠὲ βάλῃσιν,

γραπτέον ὧδε:

εἴπερ γὰρ φθάμενός Ϝ' ἤ οὐτάσῃ, ἠὲ βάλῃσιν.

Ὁμοίως τὸ Ἰλ. Η, 545 γραπτέον «ἔσσ' ἤ ἐν Τροίῃ».

§ 53. Ἡ χασμωδία εἶναι ἐνίοτε μόνον φαινομένη, διότι αἱ λέξεις ἔχουσι τὸ Ϝ ἢ τὸ σ, ὡς

αὐτὰρ δὲ ἑλώρια (Ἰλ. Α, 4)=δὲ Ϝελώρια.

τῶν Ϝοι ἐξ ἐγένοντο (Ἰλ. Ε, 270)=Ϝοὶ σέξ.

ΣΗΜ. 1. Οὕτως ἴσως ὀφείλει νὰ ἑρμηνευθῇ καὶ τὸ ἐπι-αλμενος (Ἰλ. Η, 15. Ὀδ. Ω, 320=ἐπι-σάλμενος), ἐπι-όψομαι (Ἰλ.Ι,167. Ὀδ. Β, 294=ἐπιϜόψομαι) κατα-ίσχεται (Ὀδ. Ι, 122+, ὅπερ=κατα-σίσχεται), ἀνα-οίγεσκον (Ἰλ. Ω, 455+, ὅπερ=ἀναϜοίγεσκον), ἀπο-αίρεο (Ἰλ. Α, 275 ', ὅπερ=ἀποϜαίρεο) καὶ ἀπο-αιρεῖσθαι (Ἰλ. Α, 230+=ἀποϜαιρεῖσθαι), ἀπο-αίνυμαι (Ἰλ. Ν, 262+, ὅπερ=ἀπο-Ϝαίνυμαι) καὶ ἀπο-αίνυται (Ὀδ. Ρ, 322+=ἀπο-Ϝαίνυται) καὶ ἀπο-αίνυτο (Ὀδ. Μ, 419. Ξ, 309)=ἀπο-Ϝαίνυτο.

ΣΗΜ. 2. Βραδύτερον δὲ ἐξασθενήσαντος τοῦ Ϝ καὶ σ ἔγινε καὶ ἔκθλιψις, ὡς ἐπάλμενος (Ἰλ. Η, 260. Λ, 421. Μ, 404. Ν, 529. 531. Ὀδ. Ξ, 220. Χ, 305), ἐπόψομαι (Ἰλ. Ξ, 145. Ὀδ. Η, 324. Τ, 260. 597. Υ, 233. Ψ, 19), κατέσχεται (Ἰλ. Β, 233+), ἄνοιγεν (Ἰλ. Ξ, 168+), ἀπ-αίνυτο (Ἰλ. Ο, 595 +), ἀπαινύμενος (Ἰλ. Λ, 582. Ρ, 85).

ΣΗΜ. 3. Τίνες λέξεις παρ' Ὁμήρῳ ἤρχοντο ἀπὸ τοῦ Ϝ καὶ τοῦ σ, ὅρα § 99. 102.

§ 54. Ἡ χασμωδία αἴρεται διὰ τῆς *ἐκθλίψεως* (§ 57) καὶ διὰ τῆς *συναλοιφῆς* (§ 67).

§ 55. Δὲν νομίζεται χασμωδία, ὅταν μετὰ τὴν ἔκθλιψιν τοῦ λήκτικοῦ βραχέος φωνήεντος καταλήγῃ ἡ λέξις εἰς φωνῆεν βραχύ, ὡς

τοὶ δ' ἱδρῷ ἀπεψύχοντο χιτώνων (Ἰλ. Λ, 624).

εἰδ' ἄγε τοι καὶ δένδρε' ἐϋκτιμένην κατ' ἀλωήν (Ὀδ. Ω,336.)

Οὐδὲ ἡ δίρθογγος ἐν τοιαύτῃ περιπτώσει πρὸ φωνήεντος γίνεται βραχεῖα, ὡς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁσσάκι γὰρ κύψει ὁ γέρων πιέμεν μενεαίνων (Ὀδ. Λ, 585. ὅρα καὶ 591).

§ 56. Ἡ χασμωδία εἶναι ἀνεκτὴ μετὰ φωνήεντα μὴ ἐκθλιβόμενα, ὡς *παιδὶ ἀμύνει* (Ἰλ. Π, 522. κτλ.) § 60, 1.

Ἔκθλιψις.

§ 57. Ἡ ἔκθλιψις παρ' Ὁμήρῳ εἶναι συχνοτέρα ἢ παρὰ τοῖς πεζοῖς τῶν Ἀττικῶν.

§ 58. Ἐκθλίβονται αἱ εἰς ᾰ, ε, ῐ, ο λήγουσαι λέξεις. Οὐδέποτε δ' ἐκθλίβεται τὸ ι τῆς προθέσεως *περί*, τῆς ἐρωτηματικῆς καὶ ἀορίστου ἀντωνυμίας *τί*, τὸ καὶ τοῦ συνδέσμου *ὅτι*.

ΣΗΜ. Σφάλλονται οἱ νομίζοντες ὅτι ὁ σύνδεσμος ὅ τ ι ἐκθλίβει τὸ ι, ἔνθα δὲ φέρεται τὸ ὅ τ' (Ἰλ. Α, 244. 412. Δ, 32. Ζ, 126. Η, 274. Ὀδ. Θ, 299. Υ, 333. κτλ.), δὲν ἔγινεν ἐκ τοῦ ὅ τ ι, ἀλλ' ἐκ τοῦ ὅ=ὅτι καὶ τοῦ τ ὲ = ὅτ' (=ὅτι τε § 397, ΣΗΜ.), ὡς Ἰλ. Ι, 493 (ἔνθα ὅ=ὅτι):

τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον.

καὶ Ἰλιάδ. Φ, 150:

τίς, πόθεν ἔσσ' ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;

ὅρα καὶ § 403.

§ 59. Ἐκ τῶν εἰς -α μονοσυλλάβων ἐκθλίβεται τὸ α μόνον ἐν τῷ *ῥὰ γινομένῳ ῥ'*.

ΣΗΜ. Ἀντὶ τοῦ σ' α ὐ τ ῆ ς (Ἰλ. Ζ, 490. Ὀδ. Α, 356. Φ, 350=σὰ αὐτῆς) γράφεται νῦν « τ ὲ' α ὐ τ ῆ ς ».

§ 60. Παρ' Ὁμήρῳ ἐκ τῶν εἰς -ι λημμάτων ἐκθλίβεται παρὰ τὴν συνήθειαν τῶν Ἀττικῶν

